ΞΕΝΟΦΩΝΤΟΣ

ΙΕΡΩΝ

ΒΕΔΥΕΡΟΣ ΕΞΕΔΩΚΕΝ


εἰσαγωγή

τοῦτο τὸ ἔργον ὄνοματι Ἱέρων ὑπὸ Ξενοφῶντος γεγραμμένον δηλοῦται ἢ διὰ σχημάτων ἢ διὰ τῶν ἐν τῷδε τῷ τόπῳ μερῶν ·
http://dcc.dickinson.edu/greek-core-list

ὁ μὲν Ἱέρων ἦν τύραννος τῶν Συρᾱκουσῶν. ὁ δὲ Σιμωνίδης ὁ ποιητὴς μετ᾽ αὐτοῦ λαλεῖ περὶ τῶν τυράννων. τὸ δὲ εὑρητήριόν ἐστιν ἐν τῷ τέλει. ἐὰν δὲ ἁμάρτω τι, γράψετε πρὸς ἐμέ. χάριν δὴ ἔχω ὑμῖν.

Βεδυερός
bedwere@yahoo.com

εἰσαγωγή, ἡ ← εἰς + ἄγω



Ξενοφῶν, ῶντος, ὁ



Σιμωνίδης, ου, ὁ — Ἱέρων, ωνος, ὁ
τύραννος, ὁ = δεσπότης πόλεώς τινος



Συρᾱκουσαι, αἱ
εὑρητήριον, τό ← εὑρίσκω

1

[1] Σιμωνίδης ὁ ποιητὴς ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύραννον.[3] σχολῆς δὲ γενομένης ἀμφοῖν εἶπεν ὁ Σιμωνίδης · Ἆρ᾽ ἄν μοι ἐθελήσαις, ὦ Ἱέρων, διηγήσασθαι ἃ εἰκὸς εἰδέναι σε βέλτιον ἐμοῦ · Καὶ ποῖα ταῦτ᾽ ἐστίν, ἔφη ὁ Ἱέρων, ὁποῖα δὴ ἐγὼ βέλτιον ἂν εἰδείην σοῦ οὕτως ὄντος σοφοῦ ἀνδρός ·



σχολή, ἡ

ἄμφω, τώ, τά, τώ = ἅμα δύο
διηγ-έομαι (← διά + ἡγέομαι) = ἀκριβῶς λέγω

[2] οἶδά σε, ἔφη, ἐγὼ καὶ ἰδιώτην γεγενημένον καὶ νῦν τύραννον ὄντα · εἰκὸς οὖν ἀμφοτέρων πεπειραμένον καὶ εἰδέναι σε μᾶλλον ἐμοῦ πῇ διαφέρει ὁ τυραννικός τε καὶ ὁ ἰδιωτικὸς βίος εἰς εὐφροσύνας τε καὶ λύπας ἀνθρώποις.

ἰδιώτ-ης, ου, ὁ (← ἴδιος) = μὴ ἔχων ἀρχήν ↔ τύραννος
πῇ = πῶς
τυρανν-ικός, ή, όν = ὢν τοῦ τυράννου
ἰδιωτ-ικός, ή, όν = ὢν τοῦ ἰδιώτου
εὐφροσύνη, ἡ = τὸ χαίρειν
λῦπ-η, ἡ ↔ ἡδονή

[3] τί οὖν, ἔφη ὁ Ἱέρων, οὐχὶ καὶ σύ, ἐπεὶ νῦν γε ἔτι ἰδιώτης εἶ, ὑπέμνησάς με τὰ ἐν τῷ ἰδιωτικῷ βίῳ · οὕτως γὰρ ἄν σοι οἶμαι μάλιστα ἐγὼ δύνασθαι δηλοῦν τὰ διαφέροντα ἐν ἑκατέρῳ.

ὑπομιμνήσκω (← ὑπό + μιμνήσκω) = ποιῶ ἵνα τις νῷ ἔχῃ τι

[4] οὕτω δὴ ὁ Σιμωνίδης εἶπεν

· τοὺς μὲν δὴ ἰδιώτας[4] ἔγωγε, ὦ Ἱέρων, δοκῶ μοι καταμεμαθηκέναι διὰ μὲν τῶν ὀφθαλμῶν ὁράμασιν ἡδομένους τε καὶ ἀχθομένους, διὰ δὲ τῶν ὤτων ἀκούσμασι, διὰ δὲ τῶν ῥῑνῶν ὀσμαῖς, διὰ δὲ τοῦ στόματος σίτοις τε καὶ ποτοῖς, τὰ δ᾽ ἀφροδίσια δι᾽ ὧν δὴ πάντες ἐπιστάμεθα ·

καταμανθάνω (← κατά + μανθάνω) = εὖ μανθάνω
ὅρᾱμ-α, ατος, τό = ὁρώμενόν τι
ἥδομαι, ἡσθήσομαι, ἥσθην = ἡδονὴν ἔχω
ἄχθομαι, ἀχθέσομαι, ἠχθέσθην ↔ ἥδομαι
οὖς, τό, ὠτός · ἀκούμεν τοῖς δύο ὠσίν [τοῖν ὤτοιν]
ἄκου-σμα, ατος, τό = ἀκούμενόν τι
ῥίς, ἡ, ῥῑνός · ἡ ῥὶς κεῖται ἐν μέσῳ τῷ πρωσόπῳ
ὀσμ-ή, ἡ · τῇ ῥῑνὶ αἰσθανόμεθα τὰς ὀσμάς
σῖτος, ὁ = τροφή
πότος, ὁ = ὃ πῑνομεν



Ἀφροδῑ́τη, ἡ

ἀφροδίσ-ιος, α, ον = ὢν τῆς Ἀφροδῑ́της

[5] τὰ δὲ ψῡ́χη καὶ θάλπη καὶ σκληρὰ καὶ μαλακὰ καὶ κοῦφα καὶ βαρέα ὅλῳ τῷ σώματί μοι δοκοῦμεν, ἔφη, κρῑ́νοντες ἥδεσθαί τε καὶ λῡπεῖσθαι ἐπ᾽ αὐτοῖς · ἀγαθοῖς δὲ καὶ κακοῖς ἔστι μὲν ὅτε δι᾽ αὐτῆς τῆς ψῡχῆς μοι δοκοῦμεν ἥδεσθαι, ὁτὲ δ᾽ αὖ λῡπεῖσθαι, ἔστι δ᾽ ὅτε κοινῇ [καὶ] διά τε τῆς ψῡχῆς καὶ διὰ τοῦ σώματος.

ψῦχος, εος, τό ↔ θάλπ-ος, εος, τό
θάλπ-ος, εος, τό · τὸ πῦρ παρέχει θάλπος
σκληρός, ά, όν ↔ μαλακός, ή, όν. οὔκ ἐστιν ὁ λίθος μαλακὸς ἀλλὰ σκληρός
κοῦφος, η, ον ↔ βαρύς
λῡπ-έω = παρέχω λῡπήν [4]
κοινῇ (← κοινός) = ἅμα

[6] τῷ δ᾽ ὕπνῳ ὅτι μὲν ἡδόμεθα δοκῶ μοι αἰσθάνεσθαι, ὅπως δὲ καὶ ᾧτινι καὶ ὁπότε, ταῦτα μᾶλλόν πως, ἔφη, δοκῶ μοι ἀγνοεῖν. καὶ οὐδὲν ἴσως τοῦτο θαυμαστόν, εἰ τὰ ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις παρέχε-



ὕπνος, ὁ

ἀγνο-έω (← γιγνώσκω) = οὐκ οἶδα
θαυμ-αστός, ή, όν = ποιῶν τινα θαυμάζειν
ἐγείρω, ἐγερῶ, ἤγειρα, ἔγρήγορα, ἐγήγερμαι, ἠγέρθην, ἠγρόμην = κῑνῶ ἐξ ὕπνου
αἴσθ-ησις, εως, ἡ · τὸ σῶμα αἰσθάνεται διὰ τῶν πέντε αἰσθήσεων

ται ἢ τὰ ἐν τῷ ὕπνῳ.

[7] πρὸς ταῦτα δὴ ὁ Ἱέρων ἀπεκρῑ́νατο · ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ Σιμωνίδη, ἔξω τούτων ὧν εἴρηκας σύγε οὐδ᾽ ὅπως ἂν αἴσθοιτό τινος ἄλλου ὁ τύραννος[3] ἔχοιμ᾽ ἂν εἰπεῖν, ὥστε μέχρι γε τούτου οὐκ οἶδ᾽ εἴ τινι διαφέρει ὁ τυραννικὸς[4] βίος τοῦ ἰδιωτικοῦ[4] βίου.

[8] καὶ ὁ Σιμωνίδης εἶπεν · ἀλλ᾽ ἐν τοῖσδε, ἔφη, διαφέρει · πολλαπλάσια μὲν δι᾽ ἑκάστου τούτων εὐφραίνεται, πολὺ δὲ μείω τὰ λῡπηρὰ ἔχει. καὶ ὁ Ἱέρων εἶπεν · οὐχ οὕτως ἔχει, ὦ Σιμωνίδη, ταῦτα, ἀλλ᾽ εὖ ἴσθ᾽ ὅτι μείω πολὺ εὐφραίνονται οἱ τύραννοι[3] τῶν μετρίως διαγόντων ἰδιωτῶν,[4] πολὺ δὲ πλείω καὶ μείζω λῡποῦνται.[5]


πολλαπλάσι-ος, α, ον = πολλάκις μείζων ἢ πλείων
εὐφραίνω = παρέχω εὐφροσύνην [4]
μεί-ων = ἐλάσσων
λῡπ-ηρός, ά, όν = παρέχων λῡ́π-ην [4]
μέτριος, α, ον = μέσος, μὴ ὢν παρὰ νόμον
διάγω (← διά + ἄγω) = ζάω βίον

[9] ἄπιστα λέγεις, ἔφη ὁ Σιμωνίδης. εἰ γὰρ οὕτως ταῦτ᾽ εἶχε, πῶς ἂν πολλοὶ μὲν ἐπεθῡ́μουν τυραννεῖν, καὶ ταῦτα τῶν δοκούντων ἱκανωτάτων ἀνδρῶν εἶναι · πῶς δὲ πάντες ἐζήλουν ἂν τοὺς

ἄπιστος, ον (← πιστεύω) · οὐ δυνάμεθα ἢ οὐ συμφέρει τῷ ἀπίστῳ πιστεύειν
ἐπιθῡμέω (← ἐπί + θῡμός) = μάλα βούλομαι
τυραννέω = τύραννός [3] εἰμι
ζηλ-όω = βούλομαι εἶναι ἢ ποιεῖν ὥσπερ τις

τυράννους;[3]

[10] ὅτι ναὶ μὰ τὸν Δί᾿, ἔφη ὁ Ἱέρων, ἄπειροι ὄντες ἀμφοτέρων τῶν ἔργων σκοποῦνται περὶ αὐτοῦ. ἐγὼ δὲ πειράσομαί σε διδάσκειν ὅτι ἀληθῆ λέγω, ἀρξάμενος ἀπὸ τῆς ὄψεως · ἐντεῦθεν γὰρ καὶ σὲ δοκῶ μεμνῆσθαι ἀρξάμενον λέγειν.



Ζεύς, ὁ, Διός

μὰ τὸν Δία = πρὸς τῶν θεῶν

ἄπειρος, ον = μὴ πεπειρημένος
ὄψις, ἡ, εως = αἴσθησις [5] τοῦ ὁρᾶν
ἐντεῦθεν = ἐκ τούτου

[11] πρῶτον μὲν γὰρ ἐν τοῖς διὰ τῆς ὄψεως θεᾱ́μασι λογιζόμενος εὑρίσκω μειονεκτοῦντας τοὺς τυράννους.[3] ἄλλα μέν γε ἐν ἄλλῃ χώρᾳ ἐστὶν ἀξιοθέατα · ἐπὶ δὲ τούτων ἕκαστα οἱ μὲν ἰδιῶται[4] ἔρχονται καὶ εἰς πόλεις ἃς ἂν βούλωνται θεᾱμάτων ἕνεκα, καὶ εἰς τὰς κοινὰς πανηγύρεις, ἔνθα γ᾿ ἃ ἀξιοθεᾱτότατα δοκεῖ εἶναι ἀνθρώποις συναγείρεται.

θέ-ᾱμα, ατος, τό = ὅ τι βλέπει τις
λογ-ίζομαι (← λόγος) = λόγον τινὸς ποιοῦμαι
μειονεκτ-έω (← μείων + ἔχω) = μεῖον ἔχω (←)
ἀξιο-θέᾱτος, ον (← ἄξιος + θέᾱμα) = ἄξιος τοῦ τινα βλέπειν αὐτόν
πανήγυρ-ις, εως, ἡ = ὅταν πᾶν ἔθνος ἢ γενος ἅμα γίγνηται
συναγείρω = ἄγω εἰς τὸν αὐτὸν τόπον

[12] οἱ δὲ τύραννοι[3] οὐ μάλα ἀμφὶ θεωρίας ἔχουσιν. οὔτε γὰρ ἰέναι αὐτοῖς ἀσφαλὲς ὅπου μὴ κρείττονες τῶν παρόντων μέλλουσιν ἔσεσθαι, οὔτε τὰ οἴκοι κέκτηνται ἐχυρά, ὥστε ἄλλοις παρακαταθεμένους ἀποδημεῖν. φο-

θεωρ-ία, ἡ = θέᾱμα
ἀσφαλ-ής, ές = μὴ ποιῶν πεσεῖν, σῴζων
οἴκοι = ἐν τῷ οἴκῳ, ἐν τῇ πατρίδι
ἐχυρ-ός, ά, όν (← ἔχω) ἰσχυρός, ἀσφαλής
παρακατα-τίθημι (← παρά + κατά + τίθημι) = πιστεύων τινὶ τίθημί τι παρὰ αὐτῷ ἵνα σῴζῃ
ἀποδημ-έω (← ἀπό + δῆμος) = οἴκοι οὐκ εἰμί

βερὸν γὰρ μὴ ἅμα τε στερηθῶσι τῆς ἀρχῆς καὶ ἀδύνατοι γένωνται τῑμωρήσασθαι τοὺς ἀδικήσαντας.

φοβερός, ά, όν (← φόβος) = παρέχων φόβον ἢ φοβούμενος
στερέω = ἀφαιρέω
ἀδύνατ-ος, όν (← δύναμαι) = μὴ δυνάμενος εἶναι ἢ ποιεῖν.
τῑμωρ-έω = λαμβάνω δίκην

[13] εἴποις οὖν ἂν ἴσως σύ, ἀλλ᾽ ἄρα ἔρχεται αὐτοῖς τὰ τοιαῦτα καὶ οἴκοι[7] μένουσι. ναὶ μὰ Δία,[7] ὦ Σιμωνίδη, ὀλίγα γε τῶν πολλῶν καὶ ταῦτα τοιαῦτα ὄντα οὕτω τί̄μια πωλεῖται τοῖς τυράννοις[3] ὥστε οἱ ἐπιδεικνύμενοι καὶ ὁτιοῦν ἀξιοῦσι πολλαπλάσια[6] λαβόντες ἐν ὀλίγῳ χρόνῳ ἀπιέναι παρὰ τοῦ τυράννου[3] ἢ ὅσα ἐν παντὶ τῷ βίῳ παρὰ πάντων τῶν ἄλλων ἀνθρώπων κτῶνται.

τί̄μι-ος, α, ον (← τῑμή) = ἔχων τῑμήν
πωλ-έω = ἀποδίδομαι
ἐπιδείκ-νῡμι ← ἐπί + δείκ-νῡμι
ἐπιδείκνυμαι = παρέχω θεᾱ́ματα [7]



ὁ τύραννος καὶ οἱ ἐπιδεικνύμενοι

ὁστισοῦν, ὁτιοῦν (← ὅστις + οὖν) = οὐκ οἶδ' ὅστις

[14] καὶ ὁ Σιμωνίδης εἶπεν · ἀλλ᾽ εἰ <ἐν> τοῖς θεᾱ́μασι[7] μειονεκτεῖτε,[7] διά γέ τοι τῆς ἀκοῆς πλεονεκτεῖτε. ἐπεὶ τοῦ μὲν ἡδίστου ἀκροάματος, ἐπαίνου, οὔποτε σπανί̄ζετε · πάντες γὰρ οἱ παρόντες ῡ̔μῖν πάντα καὶ ὅσα ἂν λέγητε καὶ ὅσα ἂν ποιῆτε ἐπαινοῦσι. τοῦ δ᾽ αὖ χαλεπωτάτου ἀκροάματος, λοιδορίας, ἀν-

ἀκοή, ἡ (← ἀκούω) = αἴσθησις [5] τοῦ ἀκούειν
πλεονεκτ-έω (← πλέων) ↔ μειονεκτέω [7]
ἀκρό-ᾱμα, ατος, τό = ἄκουσμα [5]
ἔπαιν-ος, ὁ = τὸ ἔχειν ἢ λαμβάνειν τῑμὴν παρά τινος
σπαν-ίζω = μειονεκτέω [7]
ἐπαιν-έω = λέγω ἔπαινον
λοιδορ-ία, ἡ ↔ ἔπαινος

ήκοοί ἐστε · οὐδεὶς γὰρ ἐθέλει τυράννου[3] κατ᾽ ὀφθαλμοὺς κατηγορεῖν.

ἀνήκο-ος, ον = μὴ ἀκούων

[15] καὶ ὁ Ἱέρων εἶπε · καὶ τί οἴει, ἔφη, τοὺς μὴ λέγοντας κακῶς εὐφραίνειν,[6] ὅταν εἰδῇ τις σαφῶς ὅτι οἱ σιωπῶντες οὗτοι πάντες κακὰ νοοῦσι τῷ τυράννῳ;[3] ἢ τοὺς ἐπαινοῦντας[8] τί δοκεῖς εὐφραίνειν,[6] ὅταν ὕποπτοι ὦσιν ἕνεκα τοῦ κολακεύειν τοὺς ἐπαίνους[8] ποιεῖσθαι ·

σιωπ-άω ↔ λέγω
νο-έω (← νοῦς) = φρονέω
ὕπ-οπτος, ον (← ὑπό + ὁράω) = ἄπιστος [6]

[16] καὶ ὁ Σιμωνίδης εἶπεν · Τοῦτο μὲν δὴ ναὶ μὰ τὸν Δία[7] ἔγωγέ σοι, Ἱέρων, πάνυ συγχωρῶ, τοὺς ἐπαίνους[8] παρὰ τῶν ἐλευθερωτάτων ἡδίστους εἶναι, ἀλλ᾽, ὁρᾷς · ἐκεῖνό γε οὐκ ἂν ἔτι πείσαις ἀνθρώπων οὐδένα ὡς οὐ δι᾽ ὧν τρεφόμεθα οἱ ἄνθρωποι, πολὺ πλείω ὑμεῖς ἐν αὐτοῖς εὐφραίνεσθε.[6]

συγχωρ-έω (← σύν + χώρα) = εἰς τὸν αὐτὸν τόπον ἔρχομαι → ὁμολογέω

[17] καὶ οἶδά γ᾽, ἔφη, ὦ Σιμωνίδη, ὅτι τούτῳ κρῖνουσιν οἱ πλεῖστοι ἥδιον ἡμᾶς καὶ πῖνειν καὶ ἐσθίειν τῶν ἰδιωτῶν,[4] ὅτι δοκοῦσι καὶ αὐτοὶ ἥδιον ἂν δειπνῆ-



ἐσθίουσι τὸ ἐπὶ τῆς τραπέζη δεῖπνον
ἐσθίω, ἔδομαι, ἔφαγον, ἐδήδοκα
δεῖπνον, τό
τράπεζ-α, ης, ἡ
δειπν-έω = ἐσθίω τὸ δεῖπνον

σαι τὸ ἡμῖν παρατιθέμενον δεῖπνον, ἢ τὸ ἑαυτοῖς · τὸ γὰρ τὰ εἰωθότα ὑπερβάλλον, τοῦτο παρέχει τὰς ἡδονάς.

παρατίθημι ← παρά + τίθημι
εἴωθα = τρόπου τινός εἰμι
ὑπερβάλλω (← ὑπέρ + βάλλω) = κρείσσων εἰμί

[18] διὸ καὶ πάντες ἄνθρωποι ἡδέως προσδέχονται τὰς ἑορτὰς πλὴν οἱ τύραννοι[3] · ἔκπλεῳ γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἔχουσιν αἱ τράπεζαι[9] αὐτῶν ἐπίδοσιν · ὥστε ταύτῃ πρῶτον τῇ εὐφροσύνῃ[4] τῆς ἐλπίδος μειονεκτοῦσι[7] τῶν ἰδιωτῶν.[4]

διό ← διὰ + ὅ
προσδέχομαι (← πρός + δέχομαι) = μένω



ἑορτ-ή, ἡ = χρόνος ἱερὸς τοῦ τῑμᾶν θεὸν ἢ ἄνθρωπον
ἔκπλεως, ων (ἔκπλεος) = μὴ δεόμενος μηδενός
ἐπίδοσις, εως, ἡ (← ἐπί + δίδωμι) = συμφέρον ἢ χρήσιμόν τι δεδομένον τινί

[19] ἔπειτα δ᾽, ἔφη, ἐκεῖνο εὖ οἶδ᾽ ὅτι καὶ σὺ ἔμπειρος εἶ ὅτι ὅσῳ ἂν πλείω τις παραθῆται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ καὶ θᾶττον κόρος ἐμπίπτει τῆς ἐδωδῆς · ὥστε καὶ τῷ χρόνῳ τῆς ἡδονῆς μειονεκτεῖ[7] ὁ παρατιθέμενος πολλὰ τῶν μετρίως[6] διαιτωμένων.

ἔμπειρος, ον = εὖ πεπειρημένος
περιττός, ή, όν (περισσός) = πλέων ἢ ἀνάγκη ἐστί
θάττων, θᾶττον = ταχύτερος
κόρος, ὁ = τὸ ἱκανῶς ἐσθίεν
ἐμπίπτω ← ἐν + πίπτω
ἐδωδή, ἡ = τροφή
διαιτ-άω = τρέφω
διαιτῶμαι = ζῶ


[20] ἀλλὰ ναὶ μὰ Δί᾽,[7] ἔφη ὁ Σιμωνίδης, ὅσον ἂν χρόνον ἡ ψῡχὴ προσίηται, τοῦτον πολὺ μᾶλλον ἥδονται[5] οἱ ταῖς πολυτελεστέραις παρασκευαῖς τρε-

προσίημι ← πρός + ἵημι
προσίεμαι = δέχομαι
πολυ-τελής, ές (← πολύς + τέλος) = τῑ́μιος πολὺ ἀργύριον
παρασκευ-ή, ἡ = τὸ παρασκευάζειν

φόμενοι τῶν τὰ εὐτελέστερα παρατιθεμένων.[10]

εὐτελ-ής, ές (← εὖ + τέλος) ↔ πολυτελής [10]

[21] οὐκοῦν, ἔφη ὁ Ἱέρων, ὦ Σιμωνίδη, τὸν ἑκάστῳ ἡδόμενον μάλιστα, τοῦτον οἴει καὶ ἐρωτικώτατα ἔχειν τοῦ ἔργου τούτου · Πάνυ μὲν οὖν, ἔφη. ἦ οὖν ὁρᾷς τι τοὺς τυράννους[3] ἥδιον ἐπὶ τὴν ἑαυτῶν παρασκευὴν[10] ἰόντας ἢ τοὺς ἰδιώτας[4] ἐπὶ τὴν ἑαυτῶν · οὐ μὰ τὸν Δί᾽,[7] ἔφη, οὐ μὲν οὖν, ἀλλὰ καὶ ἀγλευκέστερον, ὡς πολλοῖς ἂν δόξειεν.


ἔρως, ωτος, ὁ

ἐρωτ-ικός, ή, όν ← ἔρως
ἐρωτικῶς ἔχω (τινός) = ἔχω ἔρων (τινός) = ἐράω (τινός)
ἀγλευκής, ές ↔ ἡδύς

[22] τί γάρ, ἔφη ὁ Ἱέρων, τὰ πολλὰ ταῦτα μηχανήματα κατανενόηκας ἃ παρατίθεται[10] τοῖς τυράννοις,[3] ὀξέα καὶ δριμέα καὶ στρυφνὰ καὶ τὰ τούτων ἀδελφά · Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμωνίδης, καὶ πάνυ γέ μοι δοκοῦντα παρὰ φύσιν εἶναι ταῦτα ἀνθρώποις.

μηχαν-ημα, ατος, τό = τέχνη πεποιημένον τι
κατανο-έω (← κατά + νοέω [9]) = ἀκριβῶς νοῶ



τόδε ἐστὶ δρῖμύ

δρῖμύς, εῖα, ύ
στρυφνός, ή, όν = ὀξύς
ἀδελφός, ή, όν = ὢν ἀδελφοῦ

[23] ἄλλο τι οὖν οἴει, ἔφη ὁ Ἱέρων, ταῦτα τὰ ἐδέσματα εἶναι ἢ μαλακῆς καὶ ἀσθενούσης ψῡχῆς ἐπιθῡμήματα · ἐπεὶ εὖ οἶδ᾽ ἔγωγε ὅτι οἱ ἡδέως ἐσθίοντες,[9] καὶ σύ που οἶσθα ὅτι οὐδὲν προσδέονται

ἔδεσμα, ατος, τό = τροφή


τάδε ἐστι μαλακά, ὁ δὲ λίθος οὐκ ἔστι μαλακός

μαλακός, ή, όν
ἀσθεν-έω = κακῶς ἔχω
ἐπιθῡμ-ημα, ατος, τό (← ἐπί + θῡμός) = ἐπιθῡμούμενόν τι [6]
προσδέω ← πρός + δεῖ
προσδέομαι = [πρὸς τούτῳ] δεῖ μοί τινος

τούτων τῶν σοφισμάτων.

σόφ-ισμα, ατος, τό (← σοφός) = μηχανημα [11]



ἡ γυνὴ χρίεται

[24] ἀλλὰ μέντοι, ἔφη ὁ Σιμωνίδης, τῶν γε πολυτελῶν[10] ὀσμῶν[5] τούτων, αἷς χρίεσθε, τοὺς πλησιάζοντας οἶμαι μᾶλλον ἀπολαύειν ἢ αὐτοὺς ῡ̔μᾶς, ὥσπερ γε καὶ τῶν ἀχαρίτων ὀσμῶν[5] οὐκ αὐτὸς ὁ βεβρωκὼς αἰσθάνεται, ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες.

χρίω
πλησι-άζω = πάρειμι
ἀπο-λαύω = εὖ πάσχω
ἄχαρις, ὁ, ἡ, ἄχαρι, τό, ιτος = μὴ ἔχων χάριν
βιβρώσκω, βέβρωκα, βέβρωμαι, ἐβρώθην = ἐσθίω [9]

[25] οὕτω μέντοι, ἔφη ὁ Ἱέρων, καὶ τῶν σῑ́των ὁ μὲν ἔχων παντοδαπὰ ἀεὶ οὐδὲν μετὰ πόθου αὐτῶν λαμβάνει · ὁ δὲ σπανίσᾱς τινός, οὗτός ἐστιν ὁ μετὰ χαρᾶς πιμπλάμενος, ὅταν αὐτῷ προφανῇ τι.

σῖτος, ὁ = τροφή
παντο-δαπός, ή, όν = ὢν παντῶν γενῶν ἢ εἰδῶν
πόθος, ὁ = τὸ βούλεσθαί τι μὴ παρὸν παρεῖναι
σπαν-ίζω = δέομαι
χαρά, ἡ = τὸ χαίρειν (←)
πίμπλημι = εἰς τέλος τίθημί τι εἴς τινα ἤ τι
προφαίνω ← πρό + φαίνω

[26] κινδῡνεύουσιν, ἔφη ὁ Σιμωνίδης, αἱ τῶν ἀφροδισίων[5] μόνον ῡ̔μῖν ἀπολαύσεις τοῦ τυραννεῖν[6] τὰς ἐπιθῡμίας παρέχειν · ἐν γὰρ τούτῳ ἔξεστιν ῡ̔μῖν ὅ τι ἂν κάλλιστον ἴδητε τούτῳ συνεῖναι.

κινδῡν-εύω = ἐν κινδῡ́νῳ (←) εἰμί
ἀπό-λαυσις, εως, ἡ = τὸ ἀπολαύειν [12]
ἐπιθῡμ-ία, ἡ = τὸ ἐπιθῡμεῖν [6]
σύνειμι "ξ" ← σύν + εἰμί

[27] νῦν δή, ἔφη ὁ Ἱέρων, εἴρηκας ἐν ᾧ γε, σάφ᾽ ἴσθι, μειονεκτοῦμεν[7] τῶν ἰδιωτῶν.[4] πρῶτον μὲν γὰρ γάμος ὁ μὲν ἐκ

σάφ' = σαφῶς
γάμος, ὁ = ὅταν ἀνὴρ ἄγηται γυναῖκα

μειζόνων δήπου καὶ πλούτῳ καὶ δυνάμει κάλλιστος δοκεῖ εἶναι καὶ παρέχειν τινὰ τῷ γήμαντι φιλοτῑμίαν μεθ᾿ ἡδονῆς · δεύτερος δ᾿ ὁ ἐκ τῶν ὁμοίων · ὁ δ᾿ ἐκ τῶν φαυλοτέρων πάνυ ἄτῑμός τε καὶ ἄχρηστος νομίζεται.

δήπου ← δή + που
πλοῦτος, ὁ = τὸ ἔχειν πολλὰ χρήματα
γαμέω, γαμῶ, ἔγημα, γεγάμηκα = ἀνὴρ ὢν ἄγομαι γυναῖκα
φιλοτῑμ-ία, ἡ (← φίλος + τῑμη) = τὸ τὰς τῑμίας φιλεῖν (φιλέω = φιλῶς ἔχω)
φαῦλος, η, ον = εὐτελής [11]
ἄτῑμ-ος, ον ↔ τί̄μιος [8]
ἄχρησ-τος, ον ↔ χρήσιμος

[28] τῷ τοίνυν τυράννῳ,[3] ἂν μὴ ξένην γήμῃ, ἀνάγκη ἐκ μειόνων[6] γαμεῖν, ὥστε τὸ ἀγαπητὸν οὐ πάνυ αὐτῷ παραγίγνεται. πολὺ δὲ καὶ αἱ θεραπεῖαι αἱ ἀπὸ τῶν μέγιστον φρονουσῶν γυναικῶν εὐφραίνουσι[6] μάλιστα, αἱ δ᾿ ὑπὸ δούλων παροῦσαι μὲν οὐδέν τι ἀγαπῶνται, ἐὰν δέ τι ἐλλείπωσι, δεινὰς ὀργὰς καὶ λῦ́πας ἐμποιοῦσιν.

ἀγαπάω = φιλέω
ἀγαπ-ητός, ή, όν = ὃν δεῖ ἀγαπᾶ-σθαι
θεραπ-εία, ἡ = τὸ χρήσιμος εἶναί τινι, τὸ εὖ ποιεῖν τινα
ἐλλείπ-ω ← ἐκ + λείπω


ὀργή, ἡ

ἐμποι-έω ← ἐν + ποιέω

[29] ἐν δὲ τοῖς παιδικοῖς ἀφροδισίοις[5] ἔτι αὖ πολὺ μᾶλλον ἢ ἐν τοῖς τεκνοποιοῖς μειονεκτεῖ[7] τῶν εὐφροσυνῶν[4] ὁ τύραννος.[3] ὅτι <μὲν> γὰρ τὰ μετ᾿ ἔρωτος[11] ἀφροδίσια πολὺ διαφερόντως εὐφραίνει[6] πάντες δήπου[13] ἐπιστάμεθα ·

παιδ-ικός, ή, όν (← παῖς) = ὢν παιδός.
τεκνο-ποιός, όν (← τέκνον + ποιέω) = τέκνον ποιῶν
διαφερόντως (← διαφέρω) = τρόπῳ διαφέροντι

[30] ὁ δὲ ἔρως[11] πολὺ αὖ ἐθέ-

λει ἥκιστα τῷ τυράννῳ[3] ἐγγίγνεσθαι. οὐ γὰρ τῶν ἑτοίμων ἥδεται[5] <ὁ> ἔρως ἐφιέμενος, ἀλλὰ τῶν ἐλπιζομένων. ὥσπερ οὖν τις ἄπειρος[7] ὢν δίψους τοῦ πιεῖν οὐκ ἂν ἀπολαύοι,[12] οὕτω καὶ ὁ ἄπειρος ὢν ἔρωτος ἄπειρός ἐστι τῶν ἡδίστων ἀφροδισίων.[5]

ἥκιστος, η, ον = μικροότατος
ἐγγίγνομαι (← ἐν + γίγνομαι) = γίγνομαι ἔν τινι
ἑτοῖμος, ον = παρεσκευασμένος
ἐφίημι ← ἐπί + ἵημι
ἐφίεμαί τινος = ἐπιθῡμέω [6] τινός
ἐλπίζω = ἐλπίδ᾽ ἔχω, ἐν ἐλπίδι εἰμί
δίψος, εος, τό = ἐπιθῡμία [12] τοῦ πιεῖν

[31] ὁ μὲν οὖν Ἱέρων οὕτως εἶπεν. ὁ δὲ Σιμωνίδης ἐπιγελάσας, πῶς λέγεις, ἔφη, ὦ Ἱέρων · τυράννῳ[3] οὐ φῂς παιδικῶν[13] ἔρωτας[11] ἐμφύεσθαι · πῶς μὴν σύ, ἔφη, ἐρᾷς[11] Δαϊλόχου τοῦ καλλίστου ἐπικαλουμένου ·



γελάω, γελάσομαι, ἐγέλασα, ἐγελάσθην

ἐπιγελάω ← ἐπί + γελάω
ἐμφύω (← ἐν + φύω) = ἐγγίγνομαι



ὁ Ζεὺς [7] καὶ ὁ Γανυμήδης, ὁ ἐρώμενος αὐτοῦ
Δαΐλοχος, ὁ = ὁ ἐρώμενος τοῦ Ἱέρωνος
ἐπικαλέω ← ἐπί + καλέω

[32] ὅτι μὰ τὸν Δί᾽,[7] ἔφη, ὦ Σιμωνίδη, οὐ τοῦ ἑτοίμου παρ᾽ αὐτοῦ δοκοῦντος εἶναι τυχεῖν τούτου μάλιστα ἐπιθῡμῶ,[6] ἀλλὰ τοῦ ἥκιστα τυράννῳ[3] προσήκοντος κατεργάσασθαι.

κατεργ-άζομαι (← κατά + ἐργάζομαι) = ἐργάζομαι κατὰ τὸ τέλος

[33] ἐγὼ γὰρ δὴ ἐρῶ μὲν Δαϊλόχου ὧνπερ ἴσως ἀναγκάζει ἡ φύσις ἀνθρώπου δεῖσθαι παρὰ τῶν καλῶν, τούτων δὲ ὧν ἐρῶ[11] τυχεῖν, μετὰ μὲν φιλίας

ἀναγκ-άζω (← ἀνάγκη) = ἀνάγκῃ ἄγω
φιλί-α, ἡ (← φίλος) = τὸ φιλεῖν [13]

καὶ παρὰ βουλομένου πάνυ ἰσχυρῶς ἐπιθῡμῶ[6] τυγχάνειν, βίᾳ δὲ λαμβάνειν παρ᾽ αὐτοῦ ἧττον ἄν μοι δοκῶ ἐπιθῡμεῖν ἢ ἐμαυτὸν κακόν τι ποιεῖν ·

βία, ἡ = δύναμις μάλιστα ἡ κακὸν ποιοῦσα

[34] παρὰ μὲν γὰρ πολεμίων ᾱ̓κόντων λαμβάνειν πάντων ἥδιστον ἔγωγε νομίζω εἶναι, παρὰ δὲ παιδικῶν[13] βουλομένων ἥδισται οἶμαι αἱ χάριτές εἰσιν.


ᾱ̓κων [ἀέκων], ουσα, ον = μὴ ἐθέλων

[35] εὐθὺς γὰρ παρὰ τοῦ ἀντιφιλοῦντος ἡδεῖαι μὲν αἱ ἀντιβλέψεις, ἡδεῖαι δὲ αἱ ἐρωτήσεις, ἡδεῖαι δὲ αἱ ἀποκρίσεις, ἥδισται δὲ καὶ ἐπαφροδιτόταται αἱ μάχαι τε καὶ ἔριδες ·

ἀντιφιλ-έω (← ἀντί + φιλέω [13]) = φιλῶ τινα ἀντὶ τῆς φιλίας [14] αὐτοῦ
ἀντί-βλεψις, εως, ἡ (← ἀντί + βλέπω) = τὸ βλέπει τινὰ ἀντὶ τοῦ αὐτοῦ
ἐρώτ-ησις, εως, ἡ (← ἐρωτάω) = τὸ ἐρωτᾶν
ἀπό-κρισις, εως, ἡ (← ἀποκρῑ́νω) = τὸ ἀποκρῑ́νεσθαι
ἐπαφρόδ-ῑτος, ον (← ἐπί + Ἀφροδῑ́τη) = ἐρωτικός [11]
ἔρις, ιδος, ἡ = μάχη

[36] τὸ δὲ ἀκόντων παιδικῶν[13] ἀπολαύειν[12] λεηλασίᾳ, ἔφη, ἔμοιγε δοκεῖ ἐοικέναι μᾶλλον ἢ ἀφροδισίοις.[5] καίτοι τῷ μὲν λῃστῇ παρέχει τινὰς ὅμως ἡδονὰς τό τε κέρδος καὶ τὸ ἀνιᾶν τὸν ἐχθρόν · τὸ δὲ οὗ ἂν ἐρᾷ[11] τις τούτῳ ἥδεσθαι[5] ἀνιωμένῳ καὶ φιλοῦντα[13] μῑσεῖσθαι καὶ ἅπτεσθαι ἀχθομένου, πῶς οὐχὶ τοῦτο ἤδη δυσχερὲς τὸ πάθημα καὶ οἰ-

λεηλ-ασία, ἡ ← ληστ-ής, οῦ, ὁ ληστής = ὁ βίᾳ ἀφαιρῶν τὰ χρήματα τοῖς ἄλλοις
λεηλασία = τὸ ληστὴς εἶναι
κέρδος, εος, τό = συμφέρον τι
ἀνιάω = πόνον παρέχω
μῑσ-έω ↔ φιλέω [13]



ἅπτω, ἅψω, ἧψα, ἧμμαι, ἥφθην
ἄχθομαι = βαρέως ἔχω, κακῶς πάσχω
δυσχερ-ής, ές (← χείρ) = χαλεπός
πάθ-ημα, ατος, τό = πάθος (←)

κτρόν·

οἰκτρός, ά, όν = λῡπηρὸς [6] ὅτι ἄλλος κακῶς πάσχει

[37] καὶ γὰρ δὴ τῷ μὲν ἰδιώτῃ[4] εὐθὺς τεκμήριόν ἐστιν, ὅταν ὁ ἐρώμενός[11] τι ὑπουργῇ, ὅτι ὡς φιλῶν[13] χαρίζεται, διὰ τὸ εἰδέναι ὅτι οὐδεμιᾶς ἀνάγκης οὔσης ὑπηρετεῖ, τῷ δὲ τυράννῳ[3] οὔποτ᾽ ἔστι πιστεῦσαι ὡς φιλεῖται.

τεκμήρι-ον, τό = σημεῖον ἀκριβές
ὑπουργ-έω (← ὑπό + ἔργον) = βοηθέω
χαρίζω (← χάρις) = χάριν φέρω τινὶ λέγων ἢ ποιῶν
ὑπηρετέω = ὑπό τινι ὢν βοηθῶ αὐτῷ

[38] ἐπιστάμεθα γὰρ δὴ τοὺς διὰ φόβον ὑπηρετοῦντας[16] ὡς ᾗ μάλιστ᾽ ἂν δύνωνται ἐξεικάζουσιν αὑτοὺς ταῖς τῶν φιλούντων[13] ὑπουργίαις. καὶ τοίνυν αἱ ἐπιβουλαὶ ἐξ οὐδένων πλέονες τοῖς τυράννοις[3] εἰσὶν ἢ ἀπὸ τῶν μάλιστα φιλεῖν αὐτοὺς προσποιησαμένων.

ἐξεικ-άζω (← ἐκ + ἔοικα) = ποιῶ τινα ἐοικέναι τινί
ὑπουργ-ία, ἡ = τὸ ὑπουργεῖν
ἐπιβουλ-ή, ἡ (← ἐπί + βουλή) = βουλὴ ἐπί τινα
προσποι-έω (← πρός + ποιέω) = προστίθημι
προσποιοῦμαι = φαίνομαι εἶναι ἢ ποιεῖν τι


ὁ παῖς προσποιεῖται καταλαμβάνεσθαι ὑπὸ τοῦ στρατιώτου

2

1. πρὸς ταῦτα εἶπεν ὁ Σιμωνίδης · ἀλλὰ ταῦτα μὲν πάνυ ἔμοιγε μικρὰ δοκεῖ εἶναι ἃ σὺ λέγεις. πολλοὺς γάρ, ἔφη, ἔγωγε ὁρῶ τῶν δοκούντων ἀνδρῶν εἶναι ἑκόντας μειονεκτοῦντας[7] καὶ σί̄των[5] καὶ ποτῶν[5] καὶ

οἱ δοκοῦντες εἶναι = οὓς οἱ ἄνθρωποι νομίζουσι καλοὺς καὶ ἀγαθοὺς εἶναι
ἑκών, ἑκοῦσα, ἑκόν (↔ ἄκων [15]) = ἐθέλων

ὄψων[7] καὶ ἀφροδισίων[5] γε ἀπεχομένους.


ἀπέχω ← ἀπό + ἔχω
ἀπέχομαί τινος = οὐ ποιῶ τι, οὐ λαμβάνω τι

2. ἀλλ᾽ ἐκείνῃ γε πολὺ διαφέρετε τῶν ἰδιωτῶν,[4] ὅτι μεγάλα μὲν ἐπινοεῖτε, ταχὺ δὲ κατεργάζεσθε,[14] πλεῖστα δὲ τὰ περιττὰ[10] ἔχετε, κέκτησθε δὲ διαφέροντας μὲν ἀρετῇ ἵππους, διαφέροντα δὲ κάλλει ὅπλα, ὑπερέχοντα δὲ κόσμον γυναιξί, μεγαλοπρεπεστάτας δ᾽ οἰκίας, καὶ ταύτας κατεσκευασμένας τοῖς πλείστου ἀξίοις, ἔτι δὲ πλήθει καὶ ἐπιστήμαις θεράποντας ἀρίστους κέκτησθε, ἱκανώτατοι δ᾽ ἐστὲ κακῶσαι μὲν ἐχθρούς, ὀνῆσαι δὲ φίλους.

ἐπινο-έω (← ἐπί + νόος) = προσέχω τὸν νοῦν ἐπί τι
κάλλος, εος, τό = τὸ καλὸς (←) εἶναι
ὑπερέχω ← ὑπέρ + ἔχω
μεγαλο-πρεπής, ές = προσέχων ἀνθρώπῳ μεγάλῳ
θεράπ-ων, οντος, ὁ = παρέχων θεραπείαν (← [13])
κακόω (← κακός) = κακῶς ποιῶ
ὀνίνημι, ὀνήσω, ὤνησα, ὠνήθην = εὖ ποιῶ

3. πρὸς ταῦτα δὲ ὁ Ἱέρων εἶπεν · ἀλλὰ τὸ μὲν τὸ πλῆθος τῶν ἀνθρώπων, ὦ Σιμωνίδη, ἐξαπατᾶσθαι ὑπὸ τῆς τυραννίδος οὐδέν τι θαυμάζω · μάλα γὰρ ὁ ὄχλος μοι δοκεῖ δοξάζειν ὁρῶν καὶ εὐδαίμονάς τινας εἶναι καὶ ἀθλίους ·

ἐξαπατάω = ποιῶ πιστεῦσαι τὸ μὴ ἀληθὲς ὄν
τυραννίς, ίδος, ἡ = ἀρχὴ τοῦ τυράννου [3]



ὁ ὄχλος

δοξ-άζω (← δόξα) = νομίζω
εὐδαίμ-ων, ον (← εὖ + δαίμων) = καλὸν δαίμονα ἔχων, χαίρων, εὖ ἔχων
ἄθλιος, α, ον ↔ εὐδαίμων

4. ἡ δὲ τυραννὶς τὰ μὲν δοκοῦντα

πολλοῦ ἄξια κτήματα εἶναι ἀνεπτυγμένα θεᾶσθαι φανερὰ πᾶσι παρέχεται, τὰ δὲ χαλεπὰ ἐν ταῖς ψῡχαῖς τῶν τυράννων[3] κέκτηται ἀποκεκρυμμένα, ἔνθαπερ καὶ τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν τοῖς ἀνθρώποις ἀπόκειται.

κτῆμα, ατος, τό (← κτάομαι) = χρῆμα



ἀνα-πτύσσω (-πτύξω, -έπτυξα, -έπτυγμαι, -επτύχθην) = ποιῶ τι φαίνεσθαι
θεάομαι (→ θέᾱμα [7]) = βλέπω
ἀποκρύπτω, -έκρυψα, -κέκρυμμαι, -εκρύφθην ↔ ἀναπτύσσω
ἔνθαπερ = ἔνθα + περ
εὐδαιμον-έω = εὐδαίμων [17] εἰμί
κακοδαιμον-έω ↔ εὐδαιμονέω
ἀπόκειμαι (← ἀπό + κεῖμαι) = κεῖμαι ἀπὸ τόπου τινός

5. τὸ μὲν οὖν τὸ πλῆθος περὶ τούτου λεληθέναι, ὥσπερ εἶπον, οὐ θαυμάζω · τὸ δὲ καὶ ῡ̔μᾶς ταῦτ᾽ ἀγνοεῖν,[5] οἳ διὰ τῆς γνώμης δοκεῖτε θεᾶσθαι κάλλιον ἢ διὰ τῶν ὀφθαλμῶν τὰ πλεῖστα τῶν πρᾱγμάτων, τοῦτό μοι δοκεῖ θαυμαστὸν[5] εἶναι.

6. ἐγὼ δὲ πεπειραμένος σαφῶς οἶδα, ὦ Σιμωνίδη, καὶ λέγω σοι ὅτι οἱ τύραννοι[3] τῶν μεγίστων ἀγαθῶν ἐλάχιστα μετέχουσι, τῶν δὲ μεγίστων κακῶν πλεῖστα κέκτηνται.

ἐλάχιστ-ος, η, ον (← ἐλάσσων) ↔ μέγιστος
μετέχω (← μετά ἔχω) = ἔχω μέρος τινός

7. αὐτίκα γὰρ εἰ μὲν εἰρήνη δοκεῖ μέγα ἀγαθὸν τοῖς ἀνθρώποις εἶναι, ταύτης ἐλάχιστον

τοῖς τυράννοις[3] μέτεστιν · εἰ δὲ πόλεμος μέγα κακόν, τούτου πλεῖστον μέρος οἱ τύραννοι μετέχουσιν.

μέτειμι ← μετά + εἰμί
μέτεστί μοί τινος = μετέχω [18] τινός

8. εὐθὺς γὰρ τοῖς μὲν ἰδιώταις,[4] ἂν μὴ ἡ πόλις αὐτῶν κοινὸν πόλεμον πολεμῇ, ἔξεστιν ὅποι ἂν βούλωνται πορεύεσθαι μηδὲν φοβουμένους μή τις αὐτοὺς ἀποκτείνῃ, οἱ δὲ τύραννοι[3] πάντες πανταχῇ ὡς διὰ πολεμίας πορεύονται. αὐτοί τε γοῦν ὡπλισμένοι οἴονται ἀνάγκην εἶναι διάγειν[6] καὶ ἄλλους ὁπλοφόρους ἀεὶ συμπεριάγεσθαι.

πανταχῇ (← πᾶς) = ἐν πάσι τόποις
γοῦν ← γε + οὖν
ὁπλ-ίζω (← ὅπλον) = παρέχω ὅπλα
ὁπλο-φόρος, ον (← ὅπλον + φέρω) = φέρων ὅπλα
συμπερι-άγω (← σύν περί ἄγω) = πορευόμενος ἄγω τινὰ σύν τινι

9. ἔπειτα δὲ οἱ μὲν ἰδιῶται,[4] ἐὰν καὶ στρατεύωνταί που εἰς πολεμίαν, ἀλλ᾽ οὖν ἐπειδάν γε ἔλθωσιν οἴκαδε, ἀσφάλειαν σφίσιν ἡγοῦνται εἶναι, οἱ δὲ τύραννοι[3] ἐπειδὰν εἰς τὴν ἑαυτῶν πόλιν ἀφίκωνται, τότε ἐν πλείστοις πολεμίοις ἴσασιν ὄντες.


ὁπλῖται (← ὁπλί̄τ-ης, ου, ὁ)


στρατ-εύω (← στρατός) = ἡγοῦμαι στρατῷ
στρατεύομαι = στρατιώτης εἰμί
ἐπειδάν ← ἐπεί + δή + ἄν
οἴκ-αδε = εἰς τὸν οἶκον, εἰς τὴν πατρίδα
ἀσφάλ-εια, ας, ἡ = τὸ σεσῷσθαι

10. ἐὰν δὲ δὴ καὶ ἄλλοι στρατεύωσιν εἰς τὴν πόλιν κρείττονες,

ἐὰν ἔξω τοῦ τείχους ὄντες οἱ ἥττονες ἐν κινδῡ́νῳ δοκῶσιν εἶναι, ἀλλ᾽ ἐπειδάν[19] γε εἴσω τοῦ ἐρύματος ἔλθωσιν, ἐν ἀσφαλείᾳ[19] πάντες νομίζουσι καθεστάναι, ὁ δὲ τύραννος[3] οὐδ᾽ ἐπειδὰν εἴσω τῆς οἰκίας παρέλθῃ ἐν ἀκινδῡ́νῳ ἐστίν, ἀλλ᾽ ἐνταῦθα δὴ καὶ μάλιστα φυλακτέον οἴεται εἶναι.

εἴσω (← εἰς) ↔ ἔξω
ἔρυμα, ατος, τό = ὃ φυλάσσει
παρέρχομαι ← παρά + ἔρχομαι
ἀκίνδῡν-ος, ον (← κίνδῡνος) = ὢν ἄνευ κινδῡ́νου

11. ἔπειτα τοῖς μὲν ἰδιώταις[4] καὶ διὰ σπονδῶν καὶ δι᾽ εἰρήνης γίγνεται πολέμου ἀνάπαυσις, τοῖς δὲ τυράννοις[3] οὔτε εἰρήνη ποτὲ πρὸς τοὺς τυραννευομένους γίγνεται οὔτε σπονδαῖς ἄν ποτε πιστεύσας ὁ τύραννος θαρρήσειε.



σπονδ-ή, ἡ = τὸ φέρειν πότον [5] τοῖς θέοις καὶ τοῦ τὸν πόλεμον παύεσθαι, τὸ αὐτὸ τὸν πόλεμον παύεσθαι
ἀνά-παυσις, εως, ἡ (← ἀνά + παύω) = τὸ παύεσθαι
τυραννεύω = τυραννέω [6]
θαρρέω = οὐ φοβοῦμαι

12. καὶ πόλεμοι μὲν δή εἰσιν οὕς τε αἱ πόλεις πολεμοῦσι καὶ οὓς οἱ τύραννοι[3] πρὸς τοὺς βεβιασμένους · τούτων δὴ τῶν πολέμων ὅσα μὲν ἔχει χαλεπὰ ὁ ἐν ταῖς πόλεσι, ταῦτα καὶ ὁ τύραννος ἔχει ·

βιάζω (← βία [15]) = χρῶμαι βίᾳ ἐπί τινα

13. καὶ γὰρ ἐν ὅπλοις δεῖ εἶναι ἀμφοτέρους καὶ φυλάττεσθαι

καὶ κινδῡνεύειν,[12] καὶ ἄν τι πάθωσι κακὸν ἡττηθέντες, λῡποῦνται[5] ἐπὶ τούτοις ἑκάτεροι.

ἡσσ-άομαι "ἡττ-" (← ἥσσων) = ἥσσων εἰμί, ἁλίσκομαι

14. μέχρι μὲν δὴ τούτου ἴσοι οἱ πόλεμοι · ἃ δὲ ἔχουσιν ἡδέα οἱ †συνόντες[12] ταῖς πόλεσι πρὸς τὰς πόλεις, ταῦτα οὐκέτι ἔχουσιν οἱ τύραννοι.[3]

15. αἱ μὲν γὰρ πόλεις δήπου[13] ὅταν κρατήσωσι μάχῃ τῶν ἐναντίων, οὐ ῥᾴδιον εἰπεῖν ὅσην μὲν ἡδονὴν ἔχουσιν ἐν τῷ τρέψασθαι τοὺς πολεμίους, ὅσην δ᾿ ἐν τῷ διώκειν, ὅσην δ᾿ ἐν τῷ ἀποκτείνειν τοὺς πολεμίους, ὡς δὲ γαυροῦνται ἐπὶ τῷ ἔργῳ, ὡς δὲ δόξαν λαμπρὰν ἀναλαμβάνουσιν, ὡς δ᾿ εὐφραίνονται[6] τὴν πόλιν νομίζοντες ηὐξηκέναι.

γαυρ-όω = ποιῶ τινα ἐφ᾿ ἑαυτῷ μέγα φρονεῖν



γαυροῦμαι = μέγα ἐπ᾿ ἐμαυτῷ φρονῶ

ἀναλαμβάνω ← ἀνά + λαμβάνω
αὐξάνω (ἢ αὔξω), αὐξήσω, ηὔξησα, ηὔξηκα, ηὔξημαι, ηὐξήθην = μείζων γίγνομαι

16. ἕκαστος δέ τις προσποιεῖται[16] καὶ τῆς βουλῆς μετεσχηκέναι[18] καὶ πλείστους ἀπεκτονέναι, χαλεπὸν δὲ εὑρεῖν ὅπου οὐχὶ καὶ ἐπιψεύδονται, πλέονας φάσκοντες ἀπεκτονέναι ἢ

ψεύδομαι = οὔ φημι τὸ ἀληθές
ἐπιψεύδομαι (← ἐπί + ψεύδομαι) = πολὺ ψεύδομαι
φάσκω = φημί

ὅσοι ἂν τῷ ὄντι ἀποθάνωσιν · οὕτω καλόν τι αὐτοῖς δοκεῖ εἶναι τὸ πολὺ νικᾶν.

17. ὁ δὲ τύραννος[3] ὅταν ὑποπτεύσῃ καὶ αἰσθανόμενος τῷ ὄντι ἀντιπραττομένους τινὰς ἀποκτείνῃ, οἶδεν ὅτι οὐκ αὔξει[21] ὅλην τὴν πόλιν, ἐπίσταταί τε ὅτι μειόνων[6] ἄρξει, φαιδρός τε οὐ δύναται εἶναι οὐδὲ μεγαλύνεται ἐπὶ τῷ ἔργῳ, ἀλλὰ καὶ μειοῖ καθ᾿ ὅσον ἂν δύνηται τὸ γεγενημένον, καὶ ἀπολογεῖται ἅμα πράττων ὡς οὐκ ἀδικῶν πεποίηκεν. οὕτως οὐδ᾿ αὐτῷ δοκεῖ καλὰ τὰ ποιούμενα εἶναι.

ὑποπτ-εύω = νομίζω οὐκ ἀκριβῶς εἰδώς
ἀντιπράσσω (← ἀντί + πράσσω) = πράσσω ἐπί τινα
φαιδρ-ός, ά, όν = χαίρων
μεγαλύνω (← μέγας) = ποιῶ ἵνα τις μέγας γένηται
μειόω (← μείων [6]) ↔ μεγαλύνω
ἀπολογ-έομαι (← ἀπό + λόγος) = λέγων φυλάσσομαι


ὁ Σωκράτης ἀπολογεῖται

18. καὶ ὅταν ἀποθάνωσιν οὓς ἐφοβήθη, οὐδέν τι μᾶλλον τοῦτο θαρρεῖ,[20] ἀλλὰ φυλάττεται ἔτι μᾶλλον ἢ τὸ πρόσθεν. καὶ πόλεμον μὲν δὴ τοιοῦτον ἔχων διατελεῖ ὁ τύραννος[3] ὃν ἐγὼ δηλῶ.

πρόσθεν = πρὸ τούτου τοῦ χρόνου ἢ τόπου διατελ-έω (← διά + τέλος) =μένω ποιῶν ἢ ὤν

3

1. φιλίας[14] δ᾽ αὖ καταθέασαι ὡς κοινωνοῦσιν οἱ τύραννοι.[3] πρῶτον μὲν εἰ μέγα ἀγαθὸν ἀνθρώποις ἡ φιλία, τοῦτο ἐπισκεψώμεθα.

καταθε-άομαι ← κατά + θεάομαι [18]
κοινων-έω (← κοινός) = μετέχω [18]
ἐπισκοπ-έω ← ἐπί + σκοπέω

2. ὃς γὰρ ἂν φιλῆται[13] δήπου[13] ὑπό τινων, ἡδέως μὲν τοῦτον οἱ φιλοῦντες παρόντα ὁρῶσιν, ἡδέως δ᾽ εὖ ποιοῦσι, ποθοῦσι δέ, ἤν που ἀπῇ, ἥδιστα δὲ πάλιν προσιόντα δέχονται, συνήδονται δ᾽ ἐπὶ τοῖς αὐτοῦ ἀγαθοῖς, συνεπικουροῦσι δέ, ἐάν τι σφαλλόμενον ὁρῶσιν.

ποθ-έω = ἔχω πόθος (← [12])
ἄπειμι (← ἀπό + εἰμί) ↔ πάρειμι
πρόσειμι (← πρός + εἰμί) = καὶ πάρειμι
συνήδομαι ← σύν + ἥδομαι [5]
ἐπικουρέω = βοηθέω
συνεπι-κουρέω ← σύν + ἐπικουρέω
σφάλλω, σφαλῶ, ἔσφηλα, ἔσφαλμαι, ἐσφάλην = ποιῶ τινα πεσεῖν

3. οὐ μὲν δὴ λέληθεν οὐδὲ τὰς πόλεις ὅτι ἡ φιλία[14] μέγιστον ἀγαθὸν καὶ ἥδιστον ἀνθρώποις ἐστί · μόνους γοῦν[19] τοὺς μοιχοὺς νομίζουσι πολλαὶ τῶν πόλεων νηποινεὶ ἀποκτείνειν, δῆλον ὅτι διὰ ταῦτα ὅτι λυμαντῆρας αὐτοὺς νομίζουσι τῆς τῶν γυναικῶν φιλίας πρὸς τοὺς ἄνδρας εἶναι.

μοιχός, ὁ = ἀνὴρ διαφθείρων τὰς τῶν ἄλλων ἀνδρῶν γυναῖκας
νηποινεί = ἄνευ δίκης
λῦμ-αντήρ, ῆρος, ὁ = ἀνὴρ διαφθείρων



ὁ ἀνὴρ τῆς γυναικὸς ἀποκτείνει τὸν μοιχὸν αὐτῆς

4. ἐπεὶ ὅταν γε ἀφροδισιασθῇ

ἀφροδισ-ιάζω (← ἀφροδίσιος [5]) = ἀνὴρ ὢν χρῶμαι γυναικὶ κατὰ τὰ ἀφροδίσια

κατὰ συμφοράν τινα γυνή, οὐδὲν ἧττον τούτου ἕνεκεν τῑμῶσιν αὐτὰς οἱ ἄνδρες, ἐάνπερ ἡ φιλία[14] δοκῇ αὐταῖς ἀκήρατος διαμένειν ·

ἀκήρ-ατος, ον = μὴ διεφθαρμένος
ἕνεκεν = ἕνεκα
διαμένω ← διά + μένω


5. τοσοῦτον δέ τι ἀγαθὸν κρῑ́νω ἔγωγε τὸ φιλεῖσθαι[13] εἶναι ὥστε νομίζω τῷ ὄντι αὐτόματα τἀγαθὰ τῷ φιλουμένῳ γίγνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων ·

αὐτό-ματος, η, ον = τῇ ἑαυτοῦ δυνάμει πράσσων

6. καὶ τούτου τοίνυν τοῦ κτήματος[18] τοιούτου ὄντος μειονεκτοῦσιν[7] οἱ τύραννοι[3] πάντων μάλιστα. εἰ δὲ βούλει, ὦ Σιμωνίδη, εἰδέναι ὅτι ἀληθῆ λέγω, ὧδε ἐπίσκεψαι.[23]

7. βεβαιόταται μὲν γὰρ δήπου[13] δοκοῦσι φιλίαι[14] εἶναι γονεῦσι πρὸς παῖδας καὶ παισὶ πρὸς γονέας καὶ ἀδελφοῖς πρὸς ἀδελφοὺς καὶ γυναιξὶ πρὸς ἄνδρας καὶ ἑταίροις πρὸς ἑταίρους ·

βέβαιος, ον = μὴ κῑνούμενος
γον-εύς, έως, ὁ = πατὴρ ἢ μήτηρ
ἑταῖρ-ος, ὁ = ὃς μεθ’ οὗ τις πολὺ χρόνον μένει πῑ́νων ἢ στρατευόμενος [19] ἢ πράσσων ἄλλο τι


ἑταῖροι πῑ́νουσιν

8. εἰ τοίνυν ἐθέλεις κατανοεῖν,[11] εὑρήσεις τοὺς μὲν ἰδιώτας[4] ὑπὸ τούτων μάλιστα

φιλουμένους,[13] τοὺς δὲ τυράννους[3] πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονότας, πολλοὺς δ᾽ ὑπὸ παίδων αὐτοὺς ἀπολωλότας, πολλοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν[17] ἀλληλοφόνους γεγενημένους, πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους καὶ ὑπὸ ἑταίρων[24] γε τῶν μάλιστα δοκούντων φίλων εἶναι.

ἀλληλο-φόνοι = ἀποκτείνοντες ἀλλήλους



ἀποκτείνει τὸν τύραννον

9. οἵτινες οὖν ὑπὸ τῶν φύσει πεφῡκότων μάλιστα φιλεῖν[13] καὶ νόμῳ συνηναγκασμένων οὕτω μῑσοῦνται,[15] πῶς ὑπ᾽ ἄλλου γέ τινος οἴεσθαι χρὴ αὐτοὺς φιλεῖσθαι;

συναναγκ-άζω ← σύν + ἀναγκάζω [14]

4

1. ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον[18] μετέχει,[18] πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ;[7] ποία μὲν γὰρ ξυνουσία ἡδεῖα ἄνευ πίστεως τῆς πρὸς ἀλλήλους, ποία δ᾽


συνουσί-α "ξ" (← σύνειμι) = τὸ συνεῖναι

ἀνδρὶ καὶ γυναικὶ τερπνὴ ἄνευ πίστεως ὁμῑλία, ποῖος δὲ θεράπων[17] ἡδὺς ἀπιστούμενος;

τερπνός, ή, όν = ἡδὺς
ὁμῑλ-ία, ἡ = συνουσία [25]
ἀπιστ-έω ↔ πιστέω

2. καὶ τούτου τοίνυν τοῦ πιστῶς πρός τινας ἔχειν ἐλάχιστον[18] μέτεστι[19] τυράννῳ[3] · ὁπότε γε οὐδὲ σῑτίοις[5] καὶ ποτοῖς[5] πιστεύων διάγει,[6] ἀλλὰ καὶ τούτων πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς τοὺς διᾱκόνους πρῶτον κελεύουσιν ἀπογεύεσθαι διὰ τὸ ἀπιστεῖν μὴ καὶ ἐν τούτοις κακόν τι φάγωσιν[9] ἢ πίωσιν ·

πιστός, ή, όν (← πείθω) = ᾧ τις πέπεισται
ἀπάρχομαι (← ἀπό + ἄρχω) = ἄρχομαι θῦσαι
διᾱ́κονος, ὁ = θεράπων [17]
γεύω = δίδωμί τινι σῖτον ἵνα αὐτοῦ πειρήσηται
ἀπογεύ-ω ← ἀπό + γεύω
ἀπογευομαι = πειρῶμαι σῑ́του


ἀπάρχεται τοῖς θεοῖς

3. ἀλλὰ μὴν καὶ αἱ πατρίδες τοῖς μὲν ἄλλοις ἀνθρώποις πλείστου ἄξιαι. πολῖται γὰρ δορυφοροῦσι μὲν ἀλλήλους ἄνευ μισθοῦ ἐπὶ τοὺς δούλους, δορυφοροῦσι δ᾽ ἐπὶ τοὺς κακούργους, ὑπὲρ τοῦ μηδένα τῶν πολῑτῶν βιαίῳ θανάτῳ ἀποθνῄσκειν.

πολῖτ-ης, ου, ὁ (← πόλις) = ἔχων πολῑτείαν
δορυφορ-έω = ὅπλα ἔχων φύλασσω
μισθός, ὁ = τὸ διδόμενόν τινι ἀντὶ τοῦ ἔργου αὐτοῦ
κακουργ-ος, ον (← κακός + ἔργον) = κακὰ ἐργαζόμενος
βίαιος, α, ον ← βία [15]

4. οὕτω δὲ πόρρω προεληλύθασι φυλακῆς ὥστε πεποίηνται πολλοὶ νόμον τῷ μιαιφόνῳ

πόρρω = πρὸς μακρότερον τόπον
προέρχομαι ← πρό + ἔρχομαι
φυλακ-ή, ἡ = τὸ φυλάσσειν (←)
μῐαιφόν-ος, ον = ὃς ἡδέως ἀποκτείνει ἀνθρώπους

μηδὲ τὸν συνόντα[12] καθαρεύειν · ὥστε διὰ τὰς πατρίδας ἀσφαλῶς[7] ἕκαστος βιοτεύει τῶν πολῑτῶν.



καθαρ-εύω
βιοτ-εύω (← βίος) = διάγω [6]

5. τοῖς δὲ τυράννοις[3] καὶ τοῦτο ἔμπαλιν ἀνέστραπται. ἀντὶ γὰρ τοῦ τῑμωρεῖν αἱ πόλεις αὐτοῖς μεγάλως τῑμῶσι τὸν ἀποκτείναντα τὸν τύραννον, καὶ ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶν, ὥσπερ τοὺς τῶν ἰδιωτῶν[4] φονέας, ἀντὶ τούτου καὶ εἰκόνας ἐν τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις τῶν τοιοῦτόν τι ποιησάντων.

ἔμπαλιν (← ἐν + πάλιν) = ἐναντίον
στρέφω, -στρέψω, -έστρεψα, -έστραμμαι, -εστρέφθην = τρέπω
ἀναστρέφω ← ἀνά + στρέφω
τῑμωρ-έω = λαμβάνω δίκην παρά τινος
εἴργω, εἴρξω, εἷρξα, εἶργμαι, εἴρχθην = ποιῶ ἵνα μὴ τις ἐκ τόπου ἢ εἰς τόπον ἐλθεῖν δύνηται
φον-εύς, ὁ, έως = ἀπεκτονὼς ἄνθρωπον
εἰκών, ἡ, όνος (← ἔοικα) = τέχνῃ γεγραμμένον τι ὃ ἔοικέ τινι

6. εἰ δὲ σὺ οἴει ὡς πλείω ἔχων τῶν ἰδιωτῶν[4] κτήματα[18] ὁ τύραννος[3] διὰ τοῦτο καὶ πλείω ἀπ᾽ αὐτῶν εὐφραίνεται,[6] οὐδὲ τοῦτο οὕτως ἔχει, ὦ Σιμωνίδη, ἀλλ᾽ ὥσπερ οἱ ἀθληταὶ οὐχ ὅταν ἰδιωτῶν γένωνται κρείττονες, τοῦτ᾽ αὐτοὺς εὐφραίνει, ἀλλ᾽ ὅταν τῶν ἀνταγωνιστῶν ἥττους, τοῦτ᾽ αὐτοὺς ἀνιᾷ,[15] οὕτω καὶ ὁ τύραννος οὐχ ὅταν



ἀθλ-ητής, οῦ, ὁ
ἀνταγων-ιστής, οῦ, ὁ (← ἀντί + ἀγών) = ἀθλητὴς ἐναντίος ἐν τῷ αὐτῷ ἀγῶνι

τῶν ἰδιωτῶν πλείω φαίνηται ἔχων, τότ᾽ εὐφραίνεται, ἀλλ᾽ ὅταν ἑτέρων τυράννων ἐλάττω ἔχῃ, τούτῳ λῡπεῖται[5] · τούτους γὰρ ἀνταγωνιστὰς ἡγεῖται αὑτῷ τοῦ πλούτου εἶναι.

ἀγρός, οῦ, ὁ = μέρος γῆς, χωρίον
οἰκέτ-ης, ου, ὁ (← οἶκος) = δοῦλος τῆς οἰκίας



λιμήν, ένος, ὁ



ἀκρό-πολις, εως, ἡ

ἐπικίνδῡν-ος, ον (← ἐπί + κίνδῡνος) = ἐν κινδῡ́νῳ ὤν

7. οὐδέ γε θᾶττόν[10] τι γίγνεται τῷ τυράννῳ[3] ἢ τῷ ἰδιώτῃ[4] ὧν ἐπιθῡμεῖ.[6] ὁ μὲν γὰρ ἰδιώτης οἰκίας ἢ ἀγροῦ ἢ οἰκέτου ἐπιθῡμεῖ, ὁ δὲ τύραννος ἢ πόλεων ἢ χώρας πολλῆς ἢ λιμένων ἢ ἀκροπόλεων ἰσχυρῶν, ἅ ἐστι πολὺ χαλεπώτερα καὶ ἐπικινδῡνότερα κατεργάσασθαι[14] τῶν ἰδιωτικῶν[4] ἐπιθῡμημάτων.[11]


8. ἀλλὰ μέντοι καὶ πένητας ὄψει οὐχ οὕτως ὀλίγους τῶν ἰδιωτῶν[4] ὡς πολλοὺς τῶν τυράννων.[3] οὐ γὰρ τῷ ἀριθμῷ οὔτε τὰ πολλὰ κρῑ́νεται οὔτε τὰ ὀλίγα, ἀλλὰ πρὸς τὰς χρήσεις · ὥστε τὰ μὲν ὑπερβάλλοντα[10] τὰ ἱκανὰ

πένης, ητος, ὁ = ἀνὴρ ἔχων ὀλίγα χρήματα
χρῆσις, εως, ἡ = τὸ χρῆσθαι (←)

πολλά ἐστι, τὰ δὲ τῶν ἱκανῶν ἐλλείποντα[13] ὀλίγα.

9. τῷ οὖν τυράννῳ[3] τὰ πολλαπλάσια[6] ἧττον ἱκανά ἐστιν εἰς τὰ ἀναγκαῖα δαπανήματα ἢ τῷ ἰδιώτῃ.[4] τοῖς μὲν γὰρ ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθʼ ἡμέραν ὅπῃ βούλονται, τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται. αἱ γὰρ μέγισται αὐτοῖς δαπάναι καὶ ἀναγκαιόταται εἰς τὰς τῆς ψῡχῆς φυλακάς[26] εἰσι · τὸ δὲ τούτων τι συντέμνειν ὄλεθρος δοκεῖ εἶναι.

ἀναγκ-αῖος, α, ον ← ἀνάγκη



δαπανήματα (δαπάν-ημα, ατος, τό)
συντέμνω ← σύν + τέμνω
ὅπῃ = τῇδε τῇ ὁδῷ, τῷδε τῷ τρόπῳ
ἐνδέχομαι ← ἐν + δέχομαι
ὄλεθρ-ος, ὁ = τὸ διαφθείρεσθαι, τὸ ἀναιρεῖσθαι, θάνατος

10. ἔπειτα δὲ ὅσοι μὲν δύνανται ἔχειν ἀπὸ τοῦ δικαίου ὅσων δέονται, τί ἂν τούτους οἰκτῑ́ροι τις ὡς πένητας;[28] ὅσοι δʼ ἀναγκάζονται[14] διʼ ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς οὐ τούτους ἀθλίους[17] ἄν τις καὶ πένητας δικαίως νομίζοι;

οἰκτ-ῑ́ρω = λῡποῦμαι [5] ὅτι ἄλλος κακῶς πάσχει
ἔνδεια, ἡ = τὸ δεῖσθαί τινος, τὸ μὴ ἔχειν τι
μηχαν-άομαι = τέχνῃ τινὶ ποιῶ

11. οἱ τύραννοι[3] τοίνυν ἀναγκάζονται[14] πλεῖστα σῡλᾶν ἀδίκως καὶ ἱερὰ καὶ ἀνθρώπους διὰ τὸ

σῡλ-άω = ἀφαιρέω

εἰς τὰς ἀναγκαίας[29] δαπάνας ἀεὶ προσδεῖσθαι[11] χρημάτων. ὥσπερ γὰρ πολέμου ὄντος ἀεὶ ἀναγκάζονται στράτευμα τρέφειν ἢ ἀπολωλέναι.

δαπάν-η, ἡ = δαπάνημα [29]
στράτ-ευμα, ατος, τό = στρατός

5

1. χαλεπὸν δ᾽ ἐρῶ σοι καὶ ἄλλο πάθημα,[15] ὦ Σιμωνίδη, τῶν τυράννων.[3] γιγνώσκουσι μὲν γὰρ οὐδὲν ἧττον τῶν ἰδιωτῶν[4] τοὺς ἀλκίμους τε καὶ σοφοὺς καὶ δικαίους. τούτους δ᾽ ἀντὶ τοῦ ἄγασθαι φοβοῦνται, τοὺς μὲν ἀνδρείους, μή τι τολμήσωσι τῆς ἐλευθερίας ἕνεκεν,[24] τοὺς δὲ σοφούς, μή τι μηχανήσωνται,[29] τοὺς δὲ δικαίους, μὴ ἐπιθῡμήσῃ[6] τὸ πλῆθος ὑπ᾽ αὐτῶν προστατεῖσθαι.

ἄλκιμος, ον = ἕνεκα τῆς ἀρητῆς ἀγαθός
ἄγαμαι, ἠγάσθην = θαυμάζω
ἀνδρεῖος, α, ον ← ἀνήρ
ἐλευθ-ερία, ἡ = τὸ ἐλεύθερος (←) εἶναι
προστατ-έω = κρατέω, ἄρχομαι

2. ὅταν δὲ τοὺς τοιούτους διὰ τὸν φόβον ὑπεξαιρῶνται, τίνες ἄλλοι αὐτοῖς καταλείπονται χρῆσθαι ἀλλ᾽ ἢ οἱ ἄδικοί τε καὶ ἀκρατεῖς καὶ ἀνδρα-

ὑπεξαιρ-έω ← ὑπο + ἐκ + αἱρέω
καταλείπω ← κατά + λείπω
ἀκρατ-ής, ές (← κρατέω) = μὴ κρατῶν, μὴ δυνάμενος κρατεῖν

ποδώδεις · οἱ μὲν ἄδικοι πιστευόμενοι, διότι φοβοῦνται ὥσπερ οἱ τύραννοι[3] τὰς πόλεις μήποτε ἐλεύθεραι γενόμεναι ἐγκρατεῖς αὐτῶν γένωνται, οἱ δ᾽ ἀκρατεῖς τῆς εἰς τὸ παρὸν ἐξουσίας ἕνεκα, οἱ δ᾽ ἀνδραποδώδεις, διότι οὐδ᾽ αὐτοὶ ἀξιοῦσιν ἐλεύθεροι εἶναι. χαλεπὸν οὖν καὶ τοῦτο τὸ πάθημα[15] ἔμοιγε δοκεῖ εἶναι, τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄνδρας, ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι.[14]

ἀνδραποδ-ώδης, ες = ἐοικὼς δούλῳ
διότι = διὰ τοῦτο ὅτι
μήποτε = μή + ποτε
ἐγκρατ-ής, ές (← κρατέω) ↔ ἀκρατής
ἐξουσ-ία, ἡ (← ἐκ + εἰμί) = δύναμις



οἱ μὲν ἀκρατεῖς, οἱ δ᾽ ἐγκρατεῖς

3. ἔτι δὲ φιλόπολιν μὲν ἀνάγκη καὶ τὸν τύραννον[3] εἶναι · ἄνευ γὰρ τῆς πόλεως οὔτ᾽ ἂν σῴζεσθαι δύναιτο οὔτ᾽ εὐδαιμονεῖν[18] · ἡ δὲ τυραννὶς[17] ἀναγκάζει καὶ ταῖς ἑαυτῶν πατρίσιν ἐνοχλεῖν. οὔτε γὰρ ἀλκίμους[30] οὔτ᾽ εὐόπλους χαίρουσι τοὺς πολῖτας παρασκευάζοντες, ἀλλὰ τοὺς ξένους δεινοτέρους τῶν πολῖτῶν ποιοῦντες ἥδονται[5] μᾶλλον καὶ τούτοις χρῶνται

φιλόπολις, ὁ, ἡ = φιλῶν (← [13]) τὴν πόλιν (←)
ἐνοχλ-έω = ἀνιάω [15]
εὔοπλ-ος, ον (← εὖ + ὅπλον) = ἔχων καλὰ ὅπλα

δορυφόροις.

4. ἀλλὰ μὴν οὐδ᾽ ἂν εὐετηριῶν γενομένων ἀφθονία τῶν ἀγαθῶν γίγνηται, οὐδὲ τότε συγχαίρει ὁ τύραννος.[3] ἐνδεεστέροις γὰρ οὖσι ταπεινοτέροις αὐτοῖς οἴονται χρῆσθαι.

δορυφόρ-ος, ον = δορυφορῶν (← [26])

εὐετηρία, ἡ (← εὖ + ἔτος) = ἔτος καλόν
ἀφθον-ία, ἡ = τὸ πολὺ ἔχει καὶ πολὺ διδόναι
συγχαίρω ← σύν + χαίρω
ἐνδε-ής, ές = δεόμενος
ταπεινός, ή, όν = πρὸς τῇ γῇ ὤν, μικρὸν ἐφ᾽ ἑαυτῷ φρονῶν

6

1. βούλομαι δέ σοι, ἔφη, ὦ Σιμωνίδη, κἀκείνας τὰς εὐφροσύνας[4] δηλῶσαι ὅσαις ἐγὼ χρώμενος ὅτ᾽ ἦν ἰδιώτης,[4] νῦν ἐπειδὴ τύραννος[3] ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν.

κἀκείνας = καὶ ἐκείναις
στέρομαι = δέομαι

2. ἐγὼ γὰρ ξυνῆν[12] μὲν ἡλικιώταις ἡδόμενος ἡδομένοις ἐμοί, συνῆν δὲ ἐμαυτῷ, ὁπότε ἡσυχίας ἐπιθῡμήσαιμι,[6] διῆγον[6] δ᾽ ἐν συμποσίοις πολλάκις μὲν μέχρι τοῦ ἐπιλαθέσθαι πάντων εἴ τι χαλεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἦν, πολλάκις δὲ μέχρι τοῦ ᾠδαῖς τε καὶ θαλί-

ἡλικι-ώτης, ου, ὁ = γεγονὼς τὰ αὐτὰ ἔτη ἄλλῳ
ὁπότε = ὅτε
ἡσυχ-ία, ἡ = τὸ παύεσθαι πόνου ἢ ἔργου
ἐπιλανθάνομαι ← ἐπί + λανθάνω
ἀνθρώπ-ινος, η, ον = ὢν ἀνθρώπου (←)



συμπόσι-ον, τό ← σύν + πῖνω

θαλία, ἡ = χαρά [12]



ᾠδή, ἡ   χορός, ὁ

αις καὶ χοροῖς τὴν ψῡχὴν συγκαταμιγνύναι, πολλάκις δὲ μέχρι κοίτης ἐπιθῡμίας[12] ἐμῆς τε καὶ τῶν παρόντων.

συγκατα-μείγνῡμι "ί" ← σύν + κατά + μίγνῡμι


κοίτ-η, ἡ

3. νῦν δὲ ἀπεστέρημαι μὲν τῶν ἡδομένων[5] ἐμοὶ διὰ τὸ δούλους ἀντὶ φίλων ἔχειν τοὺς ἑταίρους,[24] ἀπεστέρημαι δ᾽ αὖ τοῦ ἡδέως ἐκείνοις ὁμῑλεῖν διὰ τὸ μηδεμίαν ἐνορᾶν εὔνοιαν ἐμοὶ παρ᾽ αὐτῶν · μέθην δὲ καὶ ὕπνον[5] ὁμοίως ἐνέδρᾳ φυλάττομαι.

ἀποστέρομαι ← ἀπό + στέρομαι [32]
ὁμῑλ-έω = σύνειμι [12]
ἐνορ-άω = ἐν + ὁράω
εὔνοια, ἡ (← εὖ + νοῦς) = τὸ εὖ νοεῖν [9] εἴς τινα


οἶνος, ὁ

μέθη, ἡ = τὸ πῑ́νειν πολὺν οἶνον ἢ ἄλλο ὅμοιόν τι
ἐνέδρ-α, ἡ = τὸ οὐ φανερῶς παρασκευάζειν τι ἐπί τινα.

4. τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον,[17] φοβεῖσθαι δ᾽ ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φυλάττοντας, καὶ μήτ᾽ ἀόπλους ἔχειν ἐθέλειν περὶ αὑτὸν μήθ᾽ ὡπλισμένους[19] ἡδέως θεᾶσθαι,[18] πῶς οὐκ ἀργαλέον ἐστὶ πρᾶγμα;

ἐρημ-ία, ἡ = τόπος χωρὶς ἀνθρώπων
ἀφυλ-αξία, ἡ ↔ φυλακή [26]
ἄοπλος, ον ↔ ὡπλισμένος [19]
ἀργαλέος, α, ον = λῡπηρός [6]

5. ἔτι δὲ ξένοις μὲν μᾶλλον ἢ πολῑ́ταις πιστεύειν, βαρβάροις δὲ μᾶλλον ἢ Ἕλλησιν, ἐπιθῡμεῖν[6] δὲ τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν, τοὺς δὲ

Ἕλλην, ηνος, ὁ ↔ βάρβαρος

δούλους ἀναγκάζεσθαι[14] ποιεῖν ἐλευθέρους, οὐ πάντα σοι ταῦτα δοκεῖ ψῡχῆς ὑπὸ φόβων καταπεπληγμένης τεκμήρια[16] εἶναι;

πλήσσω, -πλήξω, -έπληξα, πέπληγα, πέπληγμαι, ἐπλήγην = τυγχάνω τινὸς ἢ ὅπλῳ ἢ χειρὶ ἢ ἄλλῳ τινί, ποιῶ τινα θαυμάσαι
κατα-πλήσσω ← κατά + πλήσσω

6. ὅ γέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψῡχαῖς λῡπηρός[6] ἐστιν, ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρακολουθῶν λῡμεὼν γίγνεται.

ἔνειμι ← ἐν + εἰμί
ἀκολουθ-έω = ἕπομαι
συμπαρ-ακολουθέω ← σύν + παρά + ἀκολουθέω
λῡμ-εών, ῶνος, ὁ = δὃς διαφθείρει

πολεμ-ικός, ή, όν ← πόλεμος

7. εἰ δὲ καὶ σὺ πολεμικῶν ἔμπειρος[10] εἶ, ὦ Σιμωνίδη, καὶ ἤδη ποτὲ πολεμίᾳ φάλαγγι πλησίον ἀντετάξω, ἀναμνήσθητι ποῖον μέν τινα σῖτον[5] ᾑροῦ ἐν ἐκείνῳ τῷ χρόνῳ, ποῖον δέ τινα ὕπνον[5] ἐκοιμῶ.


φάλαγξ, αγγος, ἡ

πλησίος, α, ον = δι' ὀλίγου ὤν
ἀντιτάσσω ← ἀντί + τάσσω
ἀναμιμνήσκω ← ἀνά + μιμνήσκω
κοιμ-άω = ποιῶ ὕπνον [5] γενέσθαι

8. οἷα μέντοι σοὶ τότ᾽ ἦν τὰ λυπηρά,[6] τοιαῦτά ἐστι τὰ τῶν τυράννων[3] καὶ ἔτι δεινότερα · οὐ γὰρ ἐξ ἐναντίας μόνον, ἀλλὰ καὶ πάντοθεν πολεμίους ὁρᾶν νομίζουσιν οἱ τύραννοι.

ἐξ ἐναντίας = ἐξ ἐναντίου = ἐκ τοῦ ἐναντίου
πάντοθεν (← πᾶς) = παρὰ παντὸς τόπου

9. ταῦτα δ᾽ ἀκούσας ὁ Σιμωνίδης ὑπολαβὼν εἶπεν · ὑπέρευ

ὑπολαμβάνω (← ὑπό + λαμβάνω) = ἀποκρῖνομαι
ὑπέρευ (← ὑπέρ + εὖ) = ἄριστα
ἔνιοι, αι, α (← εἷς) = τινές

μοι δοκεῖς ἔνια λέγειν. ὁ γὰρ πόλεμος φοβερὸν[8] μέν, ἀλλ᾽ ὅμως, ὦ Ἱέρων, ἡμεῖς γε ὅταν ὦμεν ἐν στρατείᾳ, φύλακας προκαθιστάμενοι θαρραλέως δείπνου[9] τε καὶ ὕπνου[5] λαγχάνομεν.

στρατεία, ἡ (← στρατός) = τὸ πορεύεσθαι ἐν στρατῷ ἐπί πολεμίους.
φύλαξ, ακος, ὁ = φυλάσσων (←)
προκαθ-ίστημι ← πρό + κατά + ἵστημι
θαρραλέος α, ον = θαρρῶν [20]
λαγχάνω, λήξομαι, ἔλαχον, εἴληχα, εἴληγμαι, ἐλήχθην = ἀπὸ τύχης λαμβάνω

10. καὶ ὁ Ἱέρων ἔφη · ναὶ μὰ Δία,[7] ὦ Σιμωνίδη · αὐτῶν μὲν γὰρ προφυλάττουσιν οἱ νόμοι, ὥστε περὶ ἑαυτῶν φοβοῦνται καὶ ὑπὲρ ῡ̔μῶν · οἱ δὲ τύραννοι[3] μισθοῦ[26] φύλακας ἔχουσιν ὥσπερ θεριστάς.

προφυλ-άσσω ← πρό + φυλάσσω



θερισταί ← θερ-ιστής, οῦ, ὁ

11. καὶ δεῖ μὲν δήπου[13] τοὺς φύλακας μηδὲν οὕτω ποιεῖν δύνασθαι ὡς πιστοὺς εἶναι · πιστὸν δὲ ἕνα πολὺ χαλεπώτερον εὑρεῖν ἢ πάνυ πολλοὺς ἐργάτας ὁποίου βούλει ἔργου, ἄλλως τε καὶ ὁπόταν χρημάτων μὲν ἕνεκα παρῶσιν οἱ φυλάττοντες, ἐξῇ δ᾽ αὐτοῖς ἐν ὀλίγῳ χρόνῳ πολὺ πλείω λαβεῖν ἀποκτείνασι τὸν τύραννον[3] ἢ ὅσα πολὺν χρόνον φυλάττοντες παρὰ τοῦ τυ-

πιστός, ή, όν ↔ ἄπιστος, ον [6]
ἐργάτ-ης, ου, ὁ = ἐργαζόμενος
ὁποῖος, α, ον ← ὅς + ποῖος

ράννου λαμβάνουσιν.

12. ὃ δ᾽ ἐζήλωσας[6] ἡμᾶς ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιεῖν δυνάμεθα, τοὺς δὲ ἐχθροὺς πάντων μάλιστα χειρούμεθα, οὐδὲ ταῦθ᾽ οὕτως ἔχει.


χειρ-όω (← χείρων) = κρατέω

13. φίλους μὲν γὰρ πῶς ἂν νομίσαις ποτὲ εὖ ποιεῖν, ὅταν εὖ εἰδῇς ὅτι ὁ τὰ πλεῖστα λαμβάνων παρὰ σοῦ ἥδιστ᾽ ἂν ὡς τάχιστα ἐξ ὀφθαλμῶν σου γένοιτο· ὅ τι γὰρ ἄν τις λάβῃ παρὰ τυράννου,[3] οὐδεὶς οὐδὲν ἑαυτοῦ νομίζει πρὶν ἂν ἔξω τῆς τούτου ἐπικρατείας γένηται.

ἐπικράτ-εια, ἡ (← ἐπί + κρατέω) = τὸ κρατεῖν

καίνω, κανῶ, ἔκανον, ἐκονα = ἀποκτείνω
κατακαίνω ← κατά + καίνω

14. ἐχθροὺς δ᾽ αὖ πῶς ἂν φαίης μάλιστα τοῖς τυράννοις[3] ἐξεῖναι χειροῦσθαι, ὅταν εὖ εἰδῶσιν ὅτι ἐχθροὶ αὐτῶν εἰσι πάντες οἱ τυραννούμενοι,[6] τούτους δὲ μήτε κατακαίνειν ἅπαντας μήτε δεσμεύειν οἷόν τε ᾖ (τίνων γὰρ ἔτι ἄρξει;) ἀλλ᾽ εἰδότα ὅτι ἐχθροί εἰσι,


δεσμός, ὁ


δεσμοί

δεσμ-εύω = εἰς δεσμοὺς ἄγω

15. τούτους ἅμα μὲν φυλάττεσθαι δέῃ, καὶ χρῆσθαι δ᾽ αὐ-

τοῖς ἀναγκάζηται;[14] εὖ δ᾽ ἴσθι καὶ τοῦτο, ὦ Σιμωνίδη, ὅτι καὶ οὓς τῶν πολῑτῶν[26] δεδίασι χαλεπῶς μὲν αὐτοὺς ζῶντας ὁρῶσι, χαλεπῶς δ᾽ ἀποκτείνουσιν · ὥσπερ γε καὶ ἵππος εἰ ἀγαθὸς μὲν εἴη, φοβερὸς[8] δὲ μὴ ἀνήκεστόν τι ποιήσῃ, χαλεπῶς μὲν ἄν τις αὐτὸν ἀποκτεῖναι διὰ τὴν ἀρετήν,

ἀνήκεστος, ον = ἀπολλύς

16. χαλεπῶς δὲ ζῶντι χρῷτο, εὐλαβούμενος μή τι ἀνήκεστον ἐν τοῖς κινδῡ́νοις ἐργάσηται, καὶ τἆλλά γε κτήματα[18] ὅσα χαλεπὰ μὲν χρήσιμα δ᾽ ἐστίν, ὁμοίως ἅπαντα λῡπεῖ[5] μὲν τοὺς κεκτημένους, λῡπεῖ δὲ ἀπαλλαττομένους.


εὐλαβ-έομαι = φυλάσσομαι

7

1. ἐπεὶ δὲ ταῦτα αὐτοῦ ἤκουσεν ὁ Σιμωνίδης, εἶπεν · ἔοικεν, ἔφη, ὦ Ἱέρων, μέγα τι εἶναι ἡ τῑμή, ἧς ὀρεγόμενοι οἱ ἄνθρωποι πάντα μὲν πόνον ὑποδύονται, πάντα δὲ κίνδῡνον ὑπομέ-

ὀρέγω = κῑνῶ τι πρός τι, ὥσπερ ὀρέγω τὴν χεῖρα εἰς τὸν οὐρανόν
δύω, -δύσω, -έδῡσα, ἔδῡν, δέδῡκα, -δέδῡκα, -δέδυμαι, -εδύθην


ὁ ὁπλῑ́της [19] δύεται τὰ ὅπλα


ὁ ἥλιος δύεται

ὑποδύω ← ὑπό + δύω
ὑπομένω ← ὑπό + μένω

νουσι.

2. καὶ ῡ̔μεῖς, ὡς ἔοικε, τοσαῦτα πράγματα ἐχούσης ὁπόσα λέγεις τῆς τυραννίδος,[17] ὅμως προπετῶς φέρεσθε εἰς αὐτήν, ὅπως τῑμᾶσθε καὶ ὑπηρετῶσι[16] μὲν ῡ̔μῖν πάντες πάντα τὰ προστεττόμενα ἀπροφασίστως, περιβλέπωσι δὲ πάντες, ὑπανιστῶνται δ᾽ ἀπὸ τῶν θᾱ́κων ὁδῶν τε παραχωρῶσι, γεραίρωσι δὲ καὶ λόγοις καὶ ἔργοις πάντες οἱ παρόντες ἀεὶ ὑμᾶς · τοιαῦτα γὰρ δὴ ποιοῦσι τοῖς τυράννοις[3] οἱ ἀρχόμενοι καὶ ἄλλον ὅντιν᾽ ἂν ἀεὶ τῑμῶντες τυγχάνωσι.

προπετ-ής, ές (← πρό + πίπτω) = προπίπτων
προστάσσω (← πρός + τάσσω) = κελεύω
ἀπρο-φάσιστος, ον (← πρό + φαίνω) = μὴ ἀπολογούμενος [22]
περι-βλέπω ← περί + βλέπω
ὑπαν-ίσταμαι (← ὑπό ἀνά ἵστημι) = ἵσταμαι τῑμῶν ἄρχοντά τινα ἐρχόμενον


θᾶκος, ὁ

χωρ-έω (← χώρα) = ποιῶ ἵνα χώρα ᾖ, βαίνω εἰς ἄλλον τόπον
παραχωρ-έω (← παρά + χωρέω) = χωρῶ παρὰ τοῦ τόπου μου
γεραίρω = τῑμῶ

3. καὶ γάρ μοι δοκεῖ, ὦ Ἱέρων, τούτῳ διαφέρειν ἀνὴρ τῶν ἄλλων ζῴων, τῷ τῑμῆς ὀρέγεσθαι.[37] ἐπεὶ σῑτίοις γε καὶ ποτοῖς[5] καὶ ὕπνοις[5] καὶ ἀφροδισίοις[5] πάντα ὁμοίως ἥδεσθαι[5] ἔοικε τὰ ζῷα · ἡ δὲ φιλοτῑμία[13] οὔτ᾽ ἐν τοῖς ἀλόγοις ζῴοις ἐμφύεται[14] οὔτ᾽ ἐν ἅπασιν ἀνθρώποις · οἷς δ᾽ ἂν

σῑτ-ίον, τό ← σῖτος [5]
ἄλογος, ον = μὴ ἔχων λόγον (←)

ἐμφύῃ τῑμῆς τε καὶ ἐπαίνου[8] ἔρως,[11] οὗτοί εἰσιν ἤδη οἱ πλεῖστον μὲν τῶν βοσκημάτων διαφέροντες, ἄνδρες δὲ καὶ οὐκέτι ἄνθρωποι μόνον νομιζόμενοι.

βόσκ-ημα, ατος, τό = ζῷον τεθραμμένον

4. ὥστε ἐμοὶ μὲν εἰκότως δοκεῖτε ταῦτα πάντα ὑπομένειν[37] ἃ φέρετε ἐν τῇ τυραννίδι,[17] ἐπείπερ τῑμᾶσθε διαφερόντως τῶν ἄλλων ἀνθρώπων. καὶ γὰρ οὐδεμία ἀνθρωπίνη[32] ἡδονὴ τοῦ θείου ἐγγυτέρω δοκεῖ εἶναι ἢ ἡ περὶ τὰς τῑμὰς εὐφροσύνη.[4]

εἰκότως (← ἔοικα) = τρόπῳ ἐοικότι
θεῖος, α, ον (← θεός) = ὢν θεοῦ
ἐγγύς = ὢν πρό τινι, οὐ μακρὰν ὁδὸν ὤν
μακράν ↔ ἐγγύς

5. πρὸς ταῦτα δὴ εἶπεν ὁ Ἱέρων · ἀλλ᾿, ὦ Σιμωνίδη, καὶ αἱ τῑμαὶ τῶν τυράννων[3] ὅμοιαι ἐμοὶ δοκοῦσιν εἶναι οἷάπερ ἐγώ σοι τὰ ἀφροδίσια[5] ὄντα αὐτῶν ἀπέδειξα.

ἀποδείκ-νῡμι ← ἀπό + δείκνῡμι

6. οὔτε γὰρ αἱ μὴ ἐξ ἀντιφιλούντων[15] ὑπουργίαι χάριτες ἡμῖν ἐδόκουν εἶναι οὔτε τὰ ἀφροδίσια[5] τὰ βίαια[26] ἡδέα ἐφαίνετο. ὡσαύτως τοίνυν οὐδὲ αἱ ὑπουργίαι αἱ ὑπὸ τῶν φοβουμένων τῑμαί

ὑπουργ-ία, ἡ (← ὑπό + ἔργον) = τὸ ἐργάζεσθαι ὑπό τινι
ὡσαύτως (← ὁ αὐτός) = τῷ αὐτῷ τρόπῳ

εἰσι.

7. πῶς γὰρ ἂν φαίημεν ἢ τοὺς βίᾳ[15] ἐξανισταμένους θᾱ́κων[38] διὰ τὸ τῑμᾶν τοὺς ἀδικοῦντας ἐξανίστασθαι, ἢ τοὺς ὁδῶν παραχωροῦντας[38] τοῖς κρείττοσι διὰ τὸ τῑμᾶν τοὺς ἀδικοῦντας παραχωρεῖν;

ἐξαν-ίστημι ← ἐκ + ἀνά + ἵστημι

8. καὶ δῶρά γε διδόασιν οἱ πολλοὶ τούτοις οὓς μῑσοῦσι,[15] καὶ ταῦτα ὅταν μάλιστα φοβῶνται μή τι κακὸν ὑπ᾿ αὐτῶν πάθωσιν. ἀλλὰ ταῦτα μὲν οἶμαι δουλείας ἔργα εἰκότως[39] ἂν νομίζοιτο · αἱ δὲ τῑμαὶ ἔμοιγε δοκοῦσιν ἐκ τῶν ἐναντίων τούτοις γίγνεσθαι.

δῶρον, τό (← δίδωμι) = δεδομένον τι ἀντὶ μηδενός



δουλ-εία, ἡ = τὸ δοῦλος (←) εἶναι

9. ὅταν γὰρ ἄνθρωποι ἄνδρα ἡγησάμενοι εὐεργετεῖν ἱκανὸν εἶναι, καὶ ἀπολαύειν[12] αὐτοῦ ἀγαθὰ νομίσαντες, ἔπειτα τοῦτον ἀνὰ στόμα τε ἔχωσιν ἐπαινοῦντες,[8] θεῶνταί[18] τ᾿ αὐτὸν ὡς οἰκεῖον ἕκαστος ἀγαθόν, ἑκόντες[16] τε παραχωρῶσι[38] τούτῳ ὁδῶν

εὐεργετ-έω (← εὖ + ἔργον) = εὖ ποιῶ

καὶ θᾱ́κων[38] ὑπανιστῶνται[38] φιλοῦντές[13] τε καὶ μὴ φοβούμενοι, καὶ στεφανῶσι κοινῆς ἀρετῆς καὶ εὐεργεσίας ἕνεκα, καὶ δωρεῖσθαι ἐθέλωσιν, οἱ αὐτοὶ οὗτοι ἔμοιγε δοκοῦσι τῑμᾶν τε τοῦτον ἀληθῶς οἳ ἂν τοιαῦτα ὑπουργήσωσι[16] καὶ ὁ τούτων ἀξιούμενος τῑμᾶσθαι τῷ ὄντι.


στέφανος, ὁ

στεφαν-όω = τίθημι στέφανον
εὐεργ-εσία, ἡ (← εὖ + ἔργον) = τὸ εὖ ποιεῖν
δωρ-έω = δίδωμι δῶρον [40]
τῷ ὄντι = ἀληθῶς

10. καὶ ἔγωγε τὸν μὲν οὕτω τῑμώμενον μακαρίζω · αἰσθάνομαι γὰρ αὐτὸν οὐκ ἐπιβουλευόμενον ἀλλὰ φροντιζόμενον μή τι πάθῃ καὶ ἀφόβως καὶ ἀνεπιφθόνως καὶ ἀκινδῡ́νως καὶ εὐδαιμόνως[17] τὸν βίον διάγοντα[6] · ὁ δὲ τύραννος[3] ὡς ὑπὸ πάντων ἀνθρώπων κατακεκρῑμένος δι᾽ ἀδικίαν ἀποθνῄσκειν, οὕτως, ὦ Σιμωνίδη, εὖ ἴσθι, καὶ νύκτα καὶ ἡμέραν διάγει.

μακαρ-ίζω = οἶμαι ὅτι τις χαίρει
ἐπιβουλ-εύω (← ἐπί + βουλή) = ἔχω βουλὴν ἐπί τινα
φροντ-ίζω = σκοπέω
ἄφοβος, ον (← φόβος) = μὴ φοβούμενος
φθόνος, ὁ = βουλὴ πονηρά
ἀνεπί-φθονος, ον = μὴ ἔχων φθόνον
ἀκίνδῡν-ος, ον = μὴ ἔχων κίνδῡνον (←)
κατα-κρῑ́νω ← κατά (τινος) + κρῑ́νω
ἀδικ-ία, ἡ (← ἀδικέω) = τὸ ἀδικεῖν

11. ἐπεὶ δὲ ταῦτα πάντα διήκουσεν ὁ Σιμωνίδης, Καὶ πῶς, ἔφη, ὦ Ἱέρων, εἰ οὕτως πονηρόν ἐστι τὸ τυραννεῖν[6] καὶ

διακούω ← διά + ἀκούω

τοῦτο σὺ ἔγνωκας, οὐκ ἀπαλλάττῃ οὕτω μεγάλου κακοῦ, ἀλλ᾽ οὔτε σὺ οὔτε ἄλλος μὲν δὴ οὐδεὶς πώποτε ἑκὼν[16] εἶναι τυραννίδος[17] ἀφεῖτο, ὅσπερ ἂν ἅπαξ κτήσαιτο;

πω = ἤδη
πώποτε ← πω + ποτε
ἅπαξ = μίαν

12. ὅτι, ἔφη, ὦ Σιμωνίδη, καὶ ταύτῃ ἀθλιώτατόν[17] ἐστιν ἡ τυραννίς[17] · οὐδὲ γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς ἐστι. πῶς γὰρ ἄν τίς ποτε ἐξαρκέσειε τύραννος[3] ἢ χρήματα ἐκτίνων ὅσους ἀφείλετο ἢ δεσμοὺς[36] ἀντιπάσχων ὅσους δὴ ἐδέσμευσεν,[36] ἢ ὅσους κατέκανε[36] πῶς ἂν ἱκανὰς ψῡχὰς ἀντιπαράσχοιτο ἀποθανουμένας;

ἐξαρκ-έω = ἱκανός εἰμι
ἐκτίνω, τείσω, ἔτεισα, τέτεικα, -τέτεισμαι, -ετείσθην = δίδωμι ὅλον τὸ ἀργύριον ἀνθ’ οὗ εἴληφα
ἀντιπάσχω (← ἀντί + πάσχω) = πάσχω τι ἀντί τινος
ἀντιπαρ-έχω (← ἀντί + παρά + ἔχω) = παρέχω τι ἀντί τινος

13. ἀλλ᾽ εἴπερ τῳ ἄλλῳ, ὦ Σιμωνίδη, λῡσιτελεῖ ἀπάγξασθαι, ἴσθι, ἔφη, ὅτι τυράννῳ[3] ἔγωγε εὑρίσκω μάλιστα τοῦτο λῡσιτελοῦν ποιῆσαι. μόνῳ γὰρ αὐτῷ οὔτε ἔχειν οὔτε καταθέσθαι τὰ κακὰ λῡσιτελεῖ.

λῡσῐτελ-έω = συμφέρω



ἄγχω
ἀπάγχω ← ἀπό + ἄγχω
κατατίθημι ← κατά + τίθημι

8

1. καὶ ὁ Σιμωνίδης ὑπολαβὼν[34] εἶπεν · ἀλλὰ τὸ μὲν νῦν, ὦ Ἱέρων, ἀθῡ́μως ἔχειν σε πρὸς τὴν τυραννίδα[17] οὐ θαυμάζω, ἐπείπερ ἐπιθῡμῶν[6] φιλεῖσθαι[13] ὑπ᾿ ἀνθρώπων ἐμποδών σοι τούτου νομίζεις αὐτὴν εἶναι. ἐγὼ μέντοι ἔχειν μοι δοκῶ διδάξαι σε ὡς τὸ ἄρχειν οὐδὲν ἀποκωλύει τοῦ φιλεῖσθαι, ἀλλὰ καὶ πλεονεκτεῖ[8] γε τῆς ἰδιωτείας.

ἄθῡμος, ον (← θῡμός) = μὴ ἔχων θῡμόν
ἐμποδών = τρόπῳ τῷ κωλύοντι
ἀποκωλ-ύω ← ἀπό + κωλύω
ἰδιωτ-εία, ἡ = τὸ ἰδιώτης (← [4]) εἶναι

2. ἐπισκοποῦντες[23] δὲ αὐτὸ εἰ οὕτως ἔχει μήπω ἐκεῖνο σκοπῶμεν, εἰ διὰ τὸ μεῖζον δύνασθαι ὁ ἄρχων καὶ χαρίζεσθαι[16] πλείω δύναιτ᾿ ἄν, ἀλλ᾿ ἂν τὰ ὅμοια ποιῶσιν ὅ τε ἰδιώτης[4] καὶ ὁ τύραννος,[3] ἐννόει πότερος μείζω ἀπὸ τῶν ἴσων κτᾶται χάριν. ἄρξομαι δέ σοι ἀπὸ τῶν μικροτάτων παραδειγμάτων.

μήπω ← μή + πω [42]
ἐννο-έω (← ἐν + νοῦς) = ἔχω ἐν νῷ
παράδειγ-μα, ατος, τό (← παρά + δείκνῡμι) = ὃ δείκνυται παρά τι ἵνα τοῦτο δηλωθῇ

3. ἰδὼν γὰρ πρῶτον προσειπάτω τινὰ φιλικῶς ὅ τε ἄρ-

προσεῖπον = εἶπον πρός (←) τινα
φιλικός, ή, όν = ὡς φίλος ὤν

χων καὶ ὁ ἰδιώτης[4] · ἐν τούτῳ τὴν ποτέρου πρόσρησιν μᾶλλον εὐφραίνειν[6] τὸν ἀκούσαντα νομίζεις; ἴθι δὴ ἐπαινεσάντων[8] ἀμφότεροι τὸν αὐτόν · τὸν ποτέρου δοκεῖς ἔπαινον[8] ἐξικνεῖσθαι μᾶλλον εἰς εὐφροσύνην[4] · θῡ́σας δὲ τῑμησάτω ἑκάτερος · τὴν παρὰ ποτέρου τῑμὴν μείζονος ἂν χάριτος δοκεῖς τυγχάνειν;

πρόσρησις, εως, ἡ (← πρός + ἐρῶ [λέγω]) = τὸ λέγειν πρός τινα
ἱκνέομαι, ἵξομαι, ἱκόμηνν = ἔρχομαι
ἐξικνέομαι ← ἐκ + ἱκνέομαι

4. κάμνοντα θεραπευσάτωσαν ὁμοίως · οὐκοῦν τοῦτο σαφὲς ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων θεραπεῖαι[13] καὶ χαρὰν[12] ἐμποιοῦσι[13] μεγίστην; δότωσαν δὴ τὰ ἴσα · οὐ καὶ ἐν τούτῳ σαφὲς ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων ἡμίσειαι χάριτες πλέον ἢ ὅλον τὸ παρὰ τοῦ ἰδιώτου[4] δώρημα δύνανται;

κάμνω, καμοῦμαι, ἔκαμον, κέκμηκα = βαρέως ἐργάζομαι
θεραπ-εύω = παρέχω θεραπείαν (←) [13]
ἥμισυς, εια, υ = ὢν εἷς ἐκ δύο μερῶν τοῦ αὐτοῦ πράγματος
δώρ-ημα, ατος, τό = δῶρον (←) [40]

5. ἀλλ᾽ ἔμοιγε δοκεῖ καὶ ἐκ θεῶν τῑμή τις καὶ χάρις συμπαρέπεσθαι ἀνδρὶ ἄρχοντι. μὴ γὰρ ὅτι καλλίονα ποιεῖ ἄνδρα, ἀλλὰ καὶ τὸν αὐτὸν τοῦτον

συμπαρ-έπομαι ← σύν + παρά + ἕπομαι

ἥδιον θεώμεθά[18] τε ὅταν ἄρχῃ ἢ ὅταν ἰδιωτεύῃ, διαλεγόμενοί τε ἀγαλλόμεθα τοῖς προτετῑμημένοις μᾶλλον ἢ τοῖς ἐκ τοῦ ἴσου ἡμῖν οὖσι.


ἰδιωτ-εύω (← ἰδιώτ-ης [4]) ↔ ἄρχω
διαλέγω ← διά + λέγω
διαλέγομαι = σύνειμί [12] τινι λέγων
ἀγάλλω, ἀγαλῶ, ἤγηλα = παρέχω δόξαν τινί
προτῑμ-άω (← πρό + τῑμάω) = τῑμῶ τινα πρὸ ἄλλου τινός

6. καὶ μὴν παιδικά[13] γε, ἐν οἷς δὴ καὶ σὺ μάλιστα κατεμέμψω τὴν τυραννίδα,[17] ἥκιστα[14] μὲν γῆρας ἄρχοντος δυσχεραίνει, ἥκιστα δ᾽ αἶσχος, πρὸς ὃν ἂν τυγχάνῃ ὁμῑλῶν,[33] τούτου ὑπολογίζεται. αὐτὸ γὰρ τὸ τετῑμῆσθαι μάλιστα συνεπικοσμεῖ, ὥστε τὰ μὲν δυσχερῆ ἀφανίζειν, τὰ δὲ καλὰ λαμπρότερα ἀναφαίνειν.

μέμφομαι, μέμψομαι, ἐμεμψάμην, ἐμέμφθην = λέγω κατά τινος ὅτι κακός ἐστιν ἢ ἡμάρτηκεν
καταμέμφομαι ← κατά + μέμφομαι
γῆρας, τό, γήρως = χρόνος τοῦ βίου ὅταν τις παλαιὸς ᾖ
δυσχερ-αίνω = οὐ δύναμαι φέρειν
αἶσχος, εος, τό = τὸ αἰσχρός εἶναι
ὑπολογ-ίζομαι (← ὑπό + λογίζομαι [7]) = λόγον ἔχω περί τινος
συνεπι-κοσμέω (← σύν + ἐπί + κόσμος) = κοινῶς ποιῶ ἵνα κόσμος τινὶ ᾖ
δυσχερ-ής, ές (← χείρ) = ὃν οὐ δύνατο ἐν χειρὶ ἔχειν, αἰσχρός
ἀφαν-ίζω ↔ φαίνω
ἀναφαίνω ← ἀνά + φαίνω

7. ὁπότε[32] γε μὴν ἐκ τῶν ἴσων ὑπουργημάτων μειζόνων χαρίτων ῡ̔μεῖς τυγχάνετε, πῶς οὐκ ἐπειδάν[19] γε ῡ̔μεῖς πολλαπλάσια[6] μὲν διαπράττοντες ὠφελεῖν δύνησθε, πολλαπλάσια δὲ δωρεῖσθαι[41] ἔχητε, ῡ̔μᾶς καὶ πολὺ μᾶλλον φιλεῖσθαι[13] τῶν ἰδιωτῶν[4] προσήκει;

ὑπούργ-ημα, ατος, τό (← ὑπό + ἔργον) = ἔργον πεποιημένον
διαπράσσω (← διά + πράσσω) = εἰς τέλος πράσσω
ὠφελ-έω = βοηθέω



ὁ πονηρὸς δίδωσι δίκην τῆς ὕβρεως (ὕβρις, ἡ, εως)

8. καὶ ὁ Ἱέρων εὐθὺς

ὑπολαβών,[34] Ὅτι νὴ Δί᾽, ἔφη, ὦ Σιμωνίδη, καὶ ἐξ ὧν ἀπεχθάνονται ἄνθρωποι, ἡμᾶς πολὺ πλείω τῶν ἰδιωτῶν[4] ἀνάγκη ἐστὶ πραγματεύεσθαι.

νή Δία = μὰ τὸν Δία [7]
ἀπεχθάνομαι = μῑσοῦμαι [15]
πραγματ-εύομαι (← πρᾶγμα) = πράγματα ἔχω

9. πρακτέον μέν γε χρήματα, εἰ μέλλομεν ἕξειν δαπανᾶν εἰς τὰ δέοντα, ἀναγκαστέον δὲ φυλάττειν ὅσα δεῖται φυλακῆς,[26] κολαστέον δὲ τοὺς ἀδίκους, κωλυτέον δὲ τοὺς ὑβρίζειν βουλομένους · καὶ ὅταν γε τάχους καιρὸς παραστῇ ἢ πεζῇ ἢ κατὰ θάλατταν ἐξορμᾶσθαι, οὐκ ἐπιτρεπτέον τοῖς ῥᾳδιουργοῦσιν.

πρακ-τέος, α, ον (← πράσσω) = ὃν δεῖ πραχθῆναι
δαπαν-άω = δαπανήματα [29] ἔχω
ἀναγκ-αστέος, α, ον (← ἀναγκάζω [14]) = ὃν δεῖ ἀναγκασθῆναι
κολ-αστέος, α, ον = ὃν δεῖ δίκην διδόναι
κωλῡ-τέος, α, ον = ὃν δεῖ κωλῡθῆναι
ὑβρίζω = ποιῶ ὕβριν [45], βιάζω [20]
τάχος, εος, τό = τὸ ταχὺς εἶναι
παρίστημι = παρά + ἵστημι
πεζός, ή, όν (← πούς) = ποσὶν βαίνων
πεζῇ = πεζῇ ὁδῷ ↔ σὺν ἵππῳ
ἐξορμάω ← ἐκ + ὁρμάω
ἐπιτρέπ-ω ← ἐπί + τρέπω = τρέπω πρός τι, ἀφίημι
ἐπιτρεπτέος, ον = ὃν δεῖ ἐπιτραφῆναι
ῥᾳδιουργ-έω (← ῥᾴδιος+ ἔργον) = ῥᾳδίως πράσσω

10. ἔτι δὲ μισθοφόρων μὲν ἀνδρὶ τυράννῳ[3] δεῖ · τούτου δὲ βαρύτερον φόρημα οὐδέν ἐστι τοῖς πολῑ́ταις.[26] οὐ γὰρ τυράννοις ἰσοτῑμίας, ἀλλὰ πλεονεξίας ἕνεκα νομίζουσι τούτους τρέφεσθαι.

μισθοφόρ-ος, ον (← μισθός + φέρω) = λαμβάνων μισθόν, ἐργαζόμενος ἐπὶ μισθῷ
φόρ-ημα, ατος, τό (← φέρω) = φερόμενόν τι
ἰσοτῑμ-ία, ἡ (← ἴσος + τῑμή) = τὸ ἔχειν ἴσην τῑμήν
πλεονεξία, ἡ (← πλέων) = τὸ πλέον ἔχειν ἢ ἐπιθῡμεῖν [6]

9

1. πρὸς ταῦτα δὴ πάλιν εἶπεν ὁ Σιμωνίδης · ἀλλ᾽ ὅπως μὲν οὐ πάντων τούτων ἐπιμελητέον, ὦ Ἱέρων, οὐ λέγω. ἐπιμέλειαι μέντοι μοι δοκοῦσιν αἱ μὲν πάνυ πρὸς ἔχθραν ἄγειν, αἱ δὲ πάνυ διὰ χαρίτων εἶναι.

ἐπιμελ-έομαι = κομίζω
ἐπιμελητέος, ον = οὗ δεῖ ἐπιμελεῖσθαι
ἐπιμέλ-εια, ἡ = τὸ ἐπιμελεῖσθαι
ἔχθρ-α, ἡ = τὸ ἔχθρος εἶναι

2. τὸ μὲν γὰρ διδάσκειν ἅ ἐστι βέλτιστα καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν[8] καὶ τῑμᾶν, αὕτη μὲν ἡ ἐπιμέλεια διὰ χαρίτων γίγνεται, τὸ δὲ τὸν ἐνδεῶς[32] τι ποιοῦντα λοιδορεῖν τε καὶ ἀναγκάζειν[14] καὶ ζημιοῦν καὶ κολάζειν, ταῦτα δὲ ἀνάγκη δι᾽ ἀπεχθείας μᾶλλον γίγνεσθαι.

βέλτ-ιστος, η, ον (← βελτίων) = μάλα ἀγαθός
ἐξεργ-άζομαι ← ἐκ + ἐργάζομαι
λοιδορ-έω ↔ ἐπαινέω [8]
ζημι-όω = ποιῶ ἵνα τις ἀπολέσῃ τι ἢ πάθῃ κακόν τι
κολάζω = δίκην δίδωμι
ἀπέχθεια, ἡ ↔ φιλία [14]


3. ἐγὼ οὖν φημι ἀνδρὶ ἄρχοντι τὸν μὲν ἀνάγκης δεόμενον ἄλλοις προστακτέον εἶναι κολάζειν, τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι δι᾽ αὑτοῦ ποιητέον. ὡς δὲ ταῦτα καλῶς ἔχει μαρτυρεῖ τὰ γιγνόμενα.

προσ-τακτέος, η, ον (← προστάσσω [38]) = ὃν δεῖ προσταχθῆναι
ἆθλον, τό = τὸ διδόμενον νενῑκηκότι ἀγῶνα
ποι-ητέος, α, ον (← ποιέω) = ὃν δεῖ ποιηθῆναι
μαρτυρ-έω = μάρτυς (←) εἰμί



ἆθλον ἀποδίδοται

4. καὶ γὰρ ὅταν χοροὺς ἡμῖν βουλώμεθα ἀγωνίζεσθαι, ἆθλα[47] μὲν ὁ ἄρχων προτίθησιν, ἀθροίζειν δὲ αὐτοὺς προστέτακται[38] χορηγοῖς καὶ ἄλλοις διδάσκειν καὶ ἀνάγκην προστιθέναι τοῖς ἐνδεῶς[32] τι ποιοῦσιν. οὐκοῦν εὐθὺς ἐν τούτοις τὸ μὲν ἐπίχαρι διὰ τοῦ ἄρχοντος ἐγένετο, τὰ δ᾽ ἀντίτυπα δι᾽ ἄλλων.



χορός, ὁ

ἀγων-ίζομαι = μάχομαι ἐν ἀγῶνι (←)
προτίθημι ← πρό + τίθημι
ἀθροίζω = ἄγω εἰς τὸν αὐτὸν τόπον
χορηγ-ός, ὁ = ἡγεμὼν χοροῦ
προστίθημι ← πρός + τίθημι
ἐπίχαρ-ις, ὁ, ἡ, ἐπίχαρι, τό (← ἐπί + χάρις) = ἡδύς
ἀντίτυπ-ος, ον = ἐναντίος

5. τί οὖν κωλύει καὶ τἆλλα τὰ πολῑτικὰ οὕτως περαίνεσθαι; διῄρηνται μὲν γὰρ ἅπασαι αἱ πόλεις αἱ μὲν κατὰ φυλάς, αἱ δὲ κατὰ μόρας, αἱ δὲ κατὰ λόχους, καὶ ἄρχοντες ἐφ᾽ ἑκάστῳ μέρει ἐφεστήκασιν.

πολῑτ-ικός, ή, όν ← πολῑτης [26]
περαίνω, περανῶ, ἐπέρᾱνα, πεπέρασμαι, ἐπεράνθην = πράσσω εἰς τέλος
διαιρ-έω ← διά + αἱρέω
φῡλή, ἡ = γένος ἀνθρώπων, μέρος στρατίας ἐκ τοῦ αὐτοῦ γένους
μόρα, ἡ = μέρος στρατίας
λόχος, ὁ = ἐνέδρα [33], οἱ ποιούμενοι ἐνέδραν, μέρος στρατίας
ἐφίστημι ← ἐπί + ἵστημι

6. οὐκοῦν εἴ τις καὶ τούτοις ὥσπερ τοῖς χοροῖς ἆθλα[47] προτιθείη[48] καὶ εὐοπλίας καὶ εὐταξίας καὶ ἱππικῆς καὶ ἀλκῆς τῆς ἐν πολέμῳ καὶ δικαιοσύνης τῆς ἐν συμβολαίοις, εἰκὸς καὶ ταῦτα πάντα διὰ φιλονῑκίαν ἐντόνως ἀσκεῖσθαι.

εὐοπλ-ία, ἡ (← εὖ + ὅπλον) = τὸ ἔχειν καλὰ ὅπλα
εὐταξία, ἡ (← εὖ + τάξις) = τὸ ἔχειν καλὴν τάξιν
ἱππικός, ή, όν ← ἵππος. ἡ ἱππικὴ τέχνη
ἀλκή, ἡ = τὸ ἀγαθὸς ἄνηρ εἶναι ἐν μάχῃ
δικαι-οσύνη, ἡ = τὸ δίκαιος (←) εἶναι
συμβόλ-αιον, τό (← σύν + βάλλω) = σημεῖον ἐν τοῖς πράγμασι ᾧ τις δέχεταί τι παρά τινος
φιλονῑκ-ία, ἡ = φιλία [14] τῆς νῑ́κης (←)
ἔντον-ος, ον = βίαιος [26]
ἀσκέω = δράω ἔργον

7. καὶ ναὶ μὰ Δία[7] ὁρμῷντό

γ᾽ ἂν θᾶττον[10] ὅποι δέοι, τῑμῆς ὀρεγόμενοι,[37] καὶ χρήματα θᾶττον ἂν εἰσφέροιεν, ὁπότε[32] τούτου καιρὸς εἴη, καὶ τὸ πάντων γε χρησιμώτατον, ἥκιστα[14] δὲ εἰθισμένον διὰ φιλονῑκίας[48] πράττεσθαι, ἡ γεωργία αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴ τις ἆθλα[47] προτιθείη[48] κατ᾽ ἀγροὺς ἢ κατὰ κώμας τοῖς κάλλιστα τὴν γῆν ἐξεργαζομένοις,[47] καὶ τοῖς εἰς τοῦτο τῶν πολῑτῶν[26] ἐρρωμένως τρεπομένοις πολλὰ ἂν ἀγαθὰ περαίνοιτο[48] ·

εἰσφέρω ← εἰς + φέρω
ἐθ-ίζω, ἐθιῶ, εἴθισα, εἴθικα, εἴθισμαι, εἰθίσθην = ποιῶ ἵνα τις τρόπον τινὰ ἔχῃ
γεωργ-ία, ἡ ← γῆ + ἔργον
ἐπιδίδωμι ← ἐπί + δίδωμι
ἀγρός, οῦ, ὁ = τόπος ὅπου γεωργία γίγνεται
κώμη, ἡ = χωρίον μετὰ οὐ πολλῶν οἴκων καὶ χωρὶς τείχους
ἐρρωμένος, η, ον = ἰσχῡρός, καλῶς ἔχων


κώμη καὶ ἀγροί

8. καὶ γὰρ αἱ πρόσοδοι αὔξοιντ᾽[21] ἄν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαρομαρτεῖ. καὶ μὴν κακουργίαι γε ἧττον τοῖς ἐνεργοῖς ἐμφύονται.[14]

9. εἰ δὲ καὶ ἐμπορία ὠφελεῖ[45] τι πόλιν, τῑμώμενος ἂν ὁ πλεῖστα τοῦτο ποιῶν καὶ ἐμπόρους ἂν πλείους ἀγείροι. εἰ δὲ φανερὸν γένοιτο ὅτι καὶ ὁ πρόσοδόν[49]

πρόσοδος, ἡ (← πρός + ὁδός) = τὸ ἔρχεσθαι πρός τι ἤ τινα ἐνταῦθα πρόσοδος χρημάτων
σωφροσύνη, ἡ = τὸ ὀρθῶς φρονεῖν
ἀσχολ-ία, ἡ = τὸ πράγματα ἔχειν, τὸ ἐργάζεσθαι
συμπαρ-ομαρτέω = εἰμὶ μετά τινος
κακουργ-ία, ἡ (← κακός + ἔργον) = τὸ κακὰ ἔργα ποιεῖν
ἐνεργός, όν (← ἐν + ἔργον) = ἐργαζόμενος



ἐμπορ-ία, ἡ
ἔμπορ-ος, ου ← ἐμπορ-ία, ἡ
ἀγείρω = φέρω ἐπὶ τὸ αὐτό

τινα ἄλῡπον ἐξευρίσκων τῇ πόλει τῑμήσεται, οὐδ᾽ αὕτη ἂν ἡ σκέψις ἀργοῖτο.


ἄλῡπ-ος, ον = ὢν ἄνευ λῡ́πης [4]
ἐξευρ-ίσκω ← ἐκ + εὑρίσκω
σκέψις, εως, ἡ = τὸ σκοπεῖν
ἀργέω = οὐ ποιῶ ἔργον (←)
ἀργοῦμαι = οὐ παρέχω μισθόν [26]

10. ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη ὅτι ὁ ἀγαθόν τι εἰσηγούμενος οὐκ ἀτῑ́μητος ἔσται, πολλοὺς ἂν καὶ τοῦτο ἐξορμήσειεν[46] ἔργον ποιεῖσθαι τὸ σκοπεῖν τι ἀγαθόν. καὶ ὅταν γε πολλοῖς περὶ τῶν ὠφελίμων μέλῃ, ἀνάγκη εὑρίσκεσθαί τε μᾶλλον καὶ ἐπιτελεῖσθαι.

συναιρέω ← σύν + αἱρέω
συνελόντι = ἐν βραχεῖ
ἐμφαν-ής, ές (← ἐν + φαίνω) = ὁ ἐν ἑαυτῷ δεικνῡ́ς
εἰσηγ-έομαι ← εἰς + ἡγέομαι
ἀτῑ́μ-ητος, ον = ὁ μὴ τῑμώμενος
ὠφέλ-ιμος, ον (← ὠφελέω [45]) = χρήσιμος
μέλω = δέομαι ἐπιμελείας [47] ἢ παρέχω ἐπιμέλειαν
ἐπιτελ-έω (← ἐπί + τέλος) = διαπράσσω [45]

11. εἰ δὲ φοβῇ, ὦ Ἱέρων, μὴ ἐν πολλοῖς ἄθλων[47] προτιθεμένων[48] πολλαὶ δαπάναι[30] γίγνωνται, ἐννόησον[43] ὅτι οὐκ ἔστιν ἐμπορεύματα λῡσιτελέστερα ἢ ὅσα ἄνθρωποι ἄθλων ὠνοῦνται. ὁρᾷς ἐν ἱππικοῖς[48] καὶ γυμνικοῖς καὶ χορηγικοῖς ἀγῶσιν ὡς μικρὰ ἆθλα μεγάλας δαπάνας καὶ πολλοὺς πόνους καὶ πολλὰς ἐπιμελείας[47] ἐξάγεται ἀνθρώπων;

ἐμπόρ-ευμα, ατος, τό (← ἐμπορία [49]) = ὃ πωλεῖται [8]
λῡσιτελ-ής, ές = χρήσιμος
ὠνέομαι, ὠνήσομαι, ἐπριάμην, ἐώνημαι, ἐωνήθην ↔ πωλέω



γυμνικὸς ἀγών

γυμνικός, ή, όν
χορηγ-ικός, ή, όν = ὢν χορηγοῦ [48]
ἐξάγω ← ἐκ + ἄγω

10

1. καὶ ὁ Ἱέρων εἶπεν · ἀλλὰ ταῦτα μέν, ὦ Σιμωνίδη, καλῶς μοι δοκεῖς λέγειν · περὶ δὲ τῶν μισθοφόρων[46] ἔχεις τι εἰπεῖν ὡς μὴ μῑσεῖσθαι[15] δι᾽ αὐτούς; ἢ λέγεις ὡς φιλίαν[14] κτησάμενος ἄρχων οὐδὲν ἔτι δεήσεται δορυφόρων;[32]



μισθοφόρος ἤτοι δορυφόρος

2. ναὶ μὰ Δία,[7] εἶπεν ὁ Σιμωνίδης, δεήσεται μὲν οὖν. οἶδα γὰρ ὅτι ὥσπερ ἐν ἵπποις οὕτως καὶ ἐν ἀνθρώποις τισὶν ἐγγίγνεται,[14] ὅσῳ ἂν ἔκπλεα[10] τὰ δέοντα ἔχωσι, τοσούτῳ ὑβριστοτέροις εἶναι.

ὕβρ-ιστος, η, ον (← ὕβρις [45]) = δεδομένος εἰς ὕβριν

3. τοὺς μὲν οὖν τοιούτους μᾶλλον ἂν σωφρονίζοι ὁ ἀπὸ τῶν δορυφόρων[32] φόβος. τοῖς δὲ καλοῖς κἀγαθοῖς ἀπ᾽ οὐδενὸς ἄν μοι δοκεῖς τοσαῦτα ὠφελήματα παρασχεῖν ὅσα ἀπὸ τῶν μισθοφόρων.[46]


σωφρον-ίζω = ποιῶ τινα ἐλθεῖν εἰς ἑαυτόν
κἀγαθοῖς = καὶ ἀγαθοῖς
ὠφέλ-ημα, ατος, τό (← ὠφελέω) = χρήσιμόν τι

4. τρέφεις μὲν γὰρ δήπου[13] καὶ σὺ αὐτοὺς σαυτῷ φύλακας[35] · ἤδη δὲ πολλοὶ καὶ δεσπόται

βίᾳ[15] ὑπὸ τῶν δούλων ἀπέθανον. ἓν οὖν ἂν πρῶτον τοῦτ᾽ εἴη τῶν προστεταγμένων[38] τοῖς μισθοφόροις,[46] ὡς πάντων ὄντας δορυφόρους[32] τῶν πολῑτῶν[26] βοηθεῖν πᾶσιν, ἄν τι τοιοῦτον αἰσθάνωνται. γίγνονται δέ που, ὡς πάντες ἐπιστάμεθα, κακοῦργοι[26] ἐν πόλεσιν · εἰ οὖν καὶ τούτους φυλάττειν εἶεν τεταγμένοι, καὶ τοῦτ᾽ ἂν εἰδεῖεν ὑπ᾽ αὐτῶν ὠφελούμενοι.

ἐπίσταμαι(← ἐπιστήμη) = οἶδα

5. πρὸς δὲ τούτοις καὶ τοῖς ἐν τῇ χώρᾳ ἐργάταις[35] καὶ κτήνεσιν οὗτοι ἂν εἰκότως[39] καὶ θάρρος καὶ ἀσφάλειαν[19] δύναιντο μάλιστα παρέχειν, ὁμοίως μὲν τοῖς σοῖς ἰδίοις, ὁμοίως δὲ τοῖς ἀνὰ τὴν χώραν. ἱκανοί γε μήν εἰσι καὶ σχολὴν[4] παρέχειν τοῖς πολῑ́ταις[26] τῶν ἰδίων ἐπιμελεῖσθαι,[47] τὰ ἐπίκαιρα φυλάττοντες.



κτῆνος, εος, τό (← κτάομαι) = βοῦς, ἵππος ἢ ἄλλον κεκτημένον ὑπὸ ἀνθρώπου ζῷον
θάρρος, εος, τό = τὸ θάρρειν [20]
ἐπίκαιρ-ος, ον (← ἐπί + καιρός) = ἔχων καιρόν, προσήκων, συμφέρων

6. πρὸς δὲ τούτοις καὶ πολεμίων ἐφόδους κρυφαίας καὶ ἐξαπιναίας τίνες ἑτοιμότεροι[14]

ἔφοδ-ος, ὁ ← ἐπί + ὁδός
κρυφ-αῖος, α, ον ↔ δῆλος
ἐξαπίν-αιος, α, ον = ὅντινα ταχέως τυχόντα πρότερον μὴ αἰσθάνομεθα

ἢ προαισθέσθαι ἢ κωλῦσαι τῶν ἀεὶ ἐν ὅπλοις τε ὄντων καὶ συντεταγμένων; ἀλλὰ μὴν καὶ ἐν τῇ στρατιᾷ τί ἐστιν ὠφελιμώτερον[50] πολῑ́ταις[26] μισθοφόρων;[46] τούτους γὰρ προπονεῖν καὶ προκινδῡνεύειν καὶ προφυλάττειν εἰκὸς ἑτοιμοτάτους[14] εἶναι.

προαισθ-άνομαι ← πρό + αἰσθάνομαι
συντάσσω ← σύν + τάσσω
προπονέω (← πρό + πόνος) = ἐργάζομαι πρότερον χάριν τινός
προκινδῡνεύω (← πρό + κίνδῡνος) = πρὸ ἄλλων λαμβάνω κίνδῡνον
προφυλ-άσσω ← πρό + φυλάσσω

7. τὰς δ᾽ ἀγχιτέρμονας πόλεις οὐκ ἀνάγκη διὰ τοὺς ἀεὶ ἐν ὅπλοις ὄντας καὶ εἰρήνης μάλιστα ἐπιθῡμεῖν;[6] οἱ γὰρ συντεταγμένοι καὶ σῴζειν τὰ τῶν φίλων μάλιστα καὶ σφάλλειν τὰ τῶν πολεμίων δύναιντ᾽ ἄν.

ἀγχι-τέρμων, ον = ὢν ἐγγὺς τοῦ τέλους
σφάλλω, σφαλῶ, ἔσφηλα, ἔσφαλμαι, ἐσφάλην = ποιῶ ἵνα τις πέσῃ

8. ὅταν γε μὴν γνῶσιν οἱ πολῖται[26] ὅτι οὗτοι κακὸν μὲν οὐδὲν ποιοῦσι τὸν μηδὲν ἀδικοῦντα, τοὺς δὲ κακουργεῖν βουλομένους κωλύουσι, βοηθοῦσι δὲ τοῖς ἀδικουμένοις, προνοοῦσι δὲ καὶ προκινδῡνεύουσι τῶν πολῑτῶν, πῶς οὐκ ἀνάγκη καὶ δαπανᾶν[46] εἰς τούτους ἥδιστα; τρέφουσι

γνῶσις, εως, ἡ ← γιγνώσκω
κακουργ-έω = κακὸν ἔργον ποιῶ
προνοέω ← πρό + νοέω [9]
προκινδῡνεύω ← πρό + κινδῡνεύω [12]

γοῦν[19] καὶ ἰδίᾳ ἐπὶ μείοσι[6] τούτων φύλακας.[35]

11

1. χρὴ δέ, ὦ Ἱέρων, οὐδ᾽ ἀπὸ τῶν ἰδίων κτημάτων ὀκνεῖν δαπανᾶν[46] εἰς τὸ κοινὸν ἀγαθόν. καὶ γὰρ ἔμοιγε δοκεῖ τὰ εἰς τὴν πόλιν ἀνᾱλούμενα μᾶλλον εἰς τὸ δέον τελεῖσθαι ἢ τὰ εἰς τὸ ἴδιον ἀνδρὶ τυράννῳ[3]. καθ᾽ ἓν δ᾽ ἕκαστον σκοπῶμεν.

ὀκν-έω = οὐ τολμῶ πρᾶξαι τι
ἀνᾱλόω = δαπανάω
δέον, οντος, τό (← δέω) = τὸ δίκαιον
τελέω = ἐργάζομαι, πράσσω εἰς τέλος (←)

2. οἰκίαν πρῶτον ὑπερβαλλούσῃ[10] δαπάνῃ[30] κεκαλλωπισμένην μᾶλλον ἡγῇ κόσμου ἄν σοι παρέχειν ἢ πᾶσαν τὴν πόλιν τείχεσί τε καὶ ναοῖς καὶ παστάσι καὶ ἀγοραῖς καὶ λιμέσι[28] κατεσκευασμένην;

καλλωπ-ίζω = ποιῶ τι γίγνεσθαι καλόν



αὕτη ἡ ἀγορὰ ἔχει παστάδας
παστάς, άδος, ἡ
ἀγορά, ᾶς, ἡ

3. ὅπλοις δὲ πότερον τοῖς ἐκπαγλοτάτοις αὐτὸς κατακεκοσμημένος δεινότερος ἂν φαίνοιο τοῖς πολεμίοις ἢ τῆς πόλεως ὅλης εὐόπλου[31] σοι οὔ-

ἔκπαγλ-ος, ον = δεινός, βίαιος [26]
κατακοσμ-έω (← κατά + κόσμος) = βάλλω εἰς τάξιν


σης;

4. προσόδους[49] δὲ ποτέρως ἂν δοκεῖς πλείονας γίγνεσθαι, εἰ τὰ σὰ ἴδια μόνον ἐνεργὰ[49] ἔχοις ἢ εἰ τὰ πάντων τῶν πολῑτῶν[26] μεμηχανημένος[29] εἴης ἐνεργὰ εἶναι;

ποτέρ-ως = πότερον τρόπον

5. τὸ δὲ πάντων κάλλιστον καὶ μεγαλοπρεπέστατον[17] νομιζόμενον εἶναι ἐπιτήδευμα ἁρματοτροφίαν, ποτέρως ἂν δοκεῖς μᾶλλον κοσμεῖν, εἰ αὐτὸς πλεῖστα τῶν Ἑλλήνων[33] ἅρματα τρέφοις τε καὶ πέμποις εἰς τὰς πανηγύρεις, ἢ εἰ ἐκ τῆς σῆς πόλεως πλεῖστοι μὲν ἱπποτρόφοι εἶεν, πλεῖστοι δ᾽ ἀγωνίζοιντο;[48] νῑκᾶν δὲ πότερα δοκεῖς κάλλιον εἶναι ἅρματος ἀρετῇ ἢ πόλεως ἧς προστατεύεις εὐδαιμονίᾳ;

ἐπιτήδ-ευμα, ατος, τό = τὸ εἰς ὅ πραγματεύομαι [46]



ἅρμα, ατος, τό

ἁρματο-τροφία, ἡ = τὸ τρέφειν ἅρματα
κοσμ-έω = ποιῶ κόσμον (←)
πανήγυρ-ις, εως, ἡ = ὅταν οἱ ἄνθωποι εἰς τὸ αὐτὸν τόπον ἔρχωνται μάλιστα διὰ ἑορτήν [10] τινα
ἱπποτρόφ-ος, ον ← ἵππος + τρέφω
προστατ-εύω (← κρατέω
εὐδαιμον-ία, ἡ = τὸ εὐδαίμ-ων [17] εἶναι

6. ἐγὼ μὲν γὰρ οὐδὲ προσήκειν φημὶ ἀνδρὶ τυράννῳ[3] πρὸς ἰδιώτας[4] ἀγωνίζεσθαι.[48] νῑκῶν μὲν γὰρ οὐκ ἂν θαυμάζοιο ἀλλὰ φθονοῖο, ὡς ἀπὸ πολλῶν οἴκων τὰς δαπάνας[30]

φθον-έω = πάσχων κακόν τι βούλομαί τινα κακῶς ἔχειν

ποιούμενος, νῑκώμενος δ᾽ ἂν πάντων μάλιστα καταγελῷο.



γελάω

καταγελάω = γελάω κατά τινος
προστάτ-ης, ου, ὁ (← πρό + ἵστημι) = ἄρχων
κηρύσσω = ἀγγέλλω παντὶ τῷ λαῷ
ἀγών-ισμα, τό = ἀγών

7. ἀλλ᾽ ἐγώ σοί φημι, ὦ Ἱέρων, πρὸς ἄλλους προστάτας πόλεων τὸν ἀγῶνα εἶναι, ὧν ἐὰν σὺ εὐδαιμονεστάτην[17] τὴν πόλιν ἧς προστατεύεις[55] παρέχῃς, κηρυχθήσῃ νῑκῶν τῷ καλλίστῳ καὶ μεγαλοπρεπεστάτῳ[17] ἐν ἀνθρώποις ἀγωνίσματι.

ἀνακηρ-ύσσω ← ἀνά + κηρύσσω



ὑμν-έω

8. καὶ πρῶτον μὲν εὐθὺς κατειργασμένος[14] ἂν εἴης τὸ φιλεῖσθαι[13] ὑπὸ τῶν ἀρχομένων, οὗ δὴ σὺ ἐπιθῡμῶν[6] τυγχάνεις · ἔπειτα δὲ τὴν σὴν νῑ́κην οὐκ ἂν εἷς εἴη ὁ ἀνακηρύττων, ἀλλὰ πάντες ἄνθρωποι ὑμνοῖεν ἂν τὴν σὴν ἀρετήν.

περί-βλεπτος, ον = περιβλεπόμενος [38]
δημόσιος, α, ον (← δῆμος) ↔ ἴδιος

9. περίβλεπτος δὲ ὢν οὐχ ὑπὸ ἰδιωτῶν[4] μόνον ἀλλὰ καὶ ὑπὸ πολλῶν πόλεων ἀγαπῷο[13] ἄν, καὶ θαυμαστὸς[5] οὐκ ἰδίᾳ μόνον ἀλλὰ καὶ δημοσίᾳ παρὰ πᾶσιν ἂν εἴης,

10. καὶ ἐξείη μὲν ἄν σοι ἕνεκεν[24] ἀσφαλείας, εἴ ποι βούλοιο, θεωρήσοντι πορεύεσθαι, ἐξείη δ᾽ ἂν αὐτοῦ μένοντι τοῦτο πράττειν. ἀεὶ γὰρ ἂν παρὰ σοὶ πανήγυρις[7] εἴη τῶν βουλομένων ἐπιδεικνύναι[8] εἴ τίς τι σοφὸν ἢ καλὸν ἢ ἀγαθὸν ἔχοι, τῶν δὲ καὶ ἐπιθῡμούντων[6] ὑπηρετεῖν.[16]

ἔξεστι (← ἐκ + εἰμί) = δυνατόν ἐστι
ἀσφάλ-εια, ας, ἡ = τὸ μὴ πίπτειν
ποῖ = πρὸς τίνα τόπον;
ποι = εἰς τοπόν τινα
θεωρ-έω = βλέπω πρός τι
αὐτοῦ = ἐνταῦθα

11. πᾶς δὲ ὁ μὲν παρὼν σύμμαχος ἂν εἴη σοι, ὁ δὲ ἀπὼν[23] ἐπιθῡμοίη[6] ἂν ἰδεῖν σε. ὥστε οὐ μόνον φιλοῖο[13] ἄν, ἀλλὰ καὶ ἐρῷο[11] ὑπ᾽ ἀνθρώπων, καὶ τοὺς καλοὺς οὐ πειρᾶν, ἀλλὰ πειρώμενον ὑπ᾽ αὐτῶν ἀνέχεσθαι ἄν σε δέοι, φόβον δ᾽ οὐκ ἂν ἔχοις ἀλλ᾽ ἄλλοις παρέχοις μή τι πάθῃς,

σύμμαχ-ος, ον = μαχόμενος σύν τινι
ἀνέχω ← ἀνά + ἔχω

12. ἑκόντας[16] δὲ τοὺς πειθομένους ἔχοις ἂν καὶ ἐθελουσίως σου προνοοῦντας[53] θεῷο[18] ἄν, εἰ δέ τις κίνδῡνος εἴη, οὐ συμμάχους μόνον ἀλλὰ καὶ προμάχους καὶ προθῡ́μους ὁρῴης ἄν, πολλῶν μὲν δωρεῶν ἀξι-

ἐθελ-ούσιος, α, ον (← ἐθέλω) = ἑκών [16]
πρόμαχ-ος, ον = μάχομενος πρό τινος
πρόθῡμος, ον (← πρό + θῡμός) = ἑτοῖμος [14] πρᾶξαι τι, θέλων
δωρ-εά, ἡ = δῶρον [40]

ούμενος, οὐκ ἀπορῶν δὲ ὅτῳ τούτων εὐμενεῖ μεταδώσεις, πάντας μὲν συγχαίροντας[32] ἔχων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς, πάντας δὲ πρὸ τῶν σῶν ἰδίων ὥσπερ τῶν ἰδίων μαχομένους.

ἀπορ-έω = οὐκ ἔχω χρήματα πῶς ποιήσω τι, οὐκ οἶδα τί δεῖ με πράσσειν
εὐμεν-ής, ές = εὔνοιαν [33] ἔχω πρός τινα
μεταδίδωμι ← μετά + δίδωμι

13. θησαυρούς γε μὴν ἔχοις ἂν πάντας τοὺς παρὰ τοῖς φίλοις πλούτους. ἀλλὰ θαρρῶν,[20] ὦ Ἱέρων, πλούτιζε μὲν τοὺς φίλους · σαυτὸν γὰρ πλουτιεῖς · αὖξε[21] δὲ τὴν πόλιν · σαυτῷ γὰρ δύναμιν περιάψεις · κτῶ δὲ αὐτῇ συμμάχους[57] · ...



θησαυρός, ὁ
πλοῦτος, ὁ = τὸ ἔχειν πολλὰ χρήματα
πλουτ-ίζω = ποιῶ ἵνα τις πλοῦτον ἔχῃ
περι-άπτω ← περί + ἅπτω [15]

14. νόμιζε δὲ τὴν μὲν πατρίδα οἶκον, τοὺς δὲ πολῑ́τας[26] ἑταίρους,[24] τοὺς δὲ φίλους τέκνα σεαυτοῦ, τοὺς δὲ παῖδας ὅτιπερ τὴν σὴν ψῡχήν, καὶ τούτους πάντας πειρῶ νῑκᾶν εὖ ποιῶν.

15. ἐὰν γὰρ τοὺς φίλους κρατῇς εὖ ποιῶν, οὐ μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. κἂν ταῦτα πάντα ποιῇς, εὖ ἴσθι, πάντων τῶν ἐν ἀνθρώποις κάλλιστον

ἀντέχω (← ἀντί + ἔχω) = ἔχω τι πρό τινος

καὶ μακαριώτατον κτῆμα[18] κεκτήσει · εὐδαιμονῶν[18] γὰρ οὐ φθονηθήσῃ.[55]

μακάρ-ιος, α, ον = εὐδαίμων [17]

εὑρετήριον